eul_wid: qnq-aq

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# On the Odyssean Prosody

*Περὶ Ὀδυσσειακῆς προσῳδίας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Λόγος* Oration

3,2 129 (1t) ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΟΔΥΣΣΕΙΑΚΗΣ ΠΡΟΣΩιΔΙΑΣ. ΕΙΣ ΤΗΝ Α. 1. ἄνδρα μοι : ἔδει μὲν ἐν τῷ ἄνδρα δύο εἶναι ὀξείας ὡς τὸ «ἄνδρά τε καὶ οἶκον» (ζ 181), ἀλλ' ἐφυλάξατο ὁ Ἀρίσταρχος διὰ τὸ μὴ ἐν τῇ εἰσβολῇ τῶν λέξεων κακοφωνίαν ποιῆσαι. M. 8. νήπιοι οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἤσθιον : ἡ κατά τὸν ἴδιον τόνον φυλάξει· πᾶσα γὰρ πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει. Il. Pros. A 258, Γ 440, Θ 4. 15. ἐν σπέσσι : ἀπορεῖ ὁ Ἡρωδιανὸς ἐν τῇ Α τῆς Ὀδυσσειακῆς προσῳδίας λέγων οὕτως, ὅτι ὥσπερ τὸ ἀνδρός καὶ πατρός καὶ μητρός ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὲ ὁμοίως τοῦ μηνός, χηνός, γραός, διὰ τί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπὴν πρὸς τὸν χαρακτῆρα τοῦ μησί, Τρωσί, βουσί; καὶ ἐπιλύεται λέγων, ὅτι ὁ διπλασιασμὸς τοῦ ς ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵ τινες καὶ μόνως βαρύνονται οἷον κύνεσσι, θήρεσσιν. οὕτως οὖν καὶ σπέεσσι· τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ ς , ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. τὸ «ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο» (Il. Ξ 186) ἔχει διπλασιασμὸν τοῦ ς καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντος τοῦ ε , ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων οἷον τοῦ κύνεσσι, θήρεσσι καὶ τῶν τοιούτων. Choer. Gaisf. 462, 30, Bekk. An. 1266. 27.

3,2 130 ἀθρόοι : δασυντέον τὸ α . καὶ πρὸ τέλους ἡ ὀξεῖα, ἐπειδὴ σημαίνει ὁμοῦ. H. 30. τηλεκλυτός : ὀξυτονητέον τὸ τηλεκλυτός ὡς ἀγακλυτός. εἰ μὲν πτωτικὸν κατ' ἀρχὴν συντεθείη, βαρύνεται ὡς τοξόκλυτος. εἰ δὲ ἄλλο τι τῶν ὑπὲρ μίαν συλλαβήν, ὀξύνεται. διὸ σημειούμεθα τὸ ναυσικλυτός ὀξυνόμενον. τὸ δὲ δουρὶ κλυτός ἐν παραθέσει ἐστίν. HQ. 34. ὑπὲρ μόρον : οὐ σύνθετον τὸ ὑπὲρ μόρον. MQ. 49. φίλων ἀπὸ πήματα πάσχει : ἀντὶ τοῦ ἄποθεν. διὸ ἐγκλίνεται. H. 52. ὀλοόφρονος : Κλεάνθης δασύνει τοῦ περὶ τῶν ὅλων φρονοῦντος ἴδιον οὕτως νοήσας. ἄμεινον δὲ ψιλοῦντας ἀκούειν τοῦ τὰ ὀλέθρια καὶ δεινὰ φρονήσαντος· εἷς γὰρ τῶν Τιτάνων ὁ Ἄτλας ἱστορεῖται. H. 66. περὶ μὲν νόον : τὸ περί φυλάσσει τὸν τόνον, ὅτε σημαίνει τὸ περισσῶς. Il. Pr. Δ 46, B 831. 70. ὅου : παροξυτονητέον τὸ ὅου· τὸ γὰρ οὗ διήρηται, ὡς τὸ «ἕης τὸ πρίν γ' ἐράασθε» (Π 208). καὶ καθόλου τὰ μὲν ἄρθρα διαιροῦνται, αἱ δὲ ἀντωνυμίαι πλεονάζουσιν. καὶ τὰ μὲν βαρύνονται, αἱ δὲ ἐπὶ τέλους ἔχουσι τὸν τόνον οἷον ὅου ἄρθρον, ἑοῦ ἀντωνυμία, ἕης ἄρθρον, ἑῆς ἀντωνυμία. HM. 109. αὐτοῖσι : Νικίας δύο μέρη λόγου ποιεῖ αὖ καὶ τοῖσι. Ἀρίσταρχος δὲ ἕν, ὃ καὶ ἄμεινον. EMQ. 112. νίζον καὶ προτίθεντο , ἰδέ : ἄμεινόν φησιν

Ἡρωδιανὸς ἀναγινώσκειν «καὶ πρότιθεν, τοὶ δὲ» καὶ γὰρ ὁ λόγος οὕτως μᾶλλον ἀκόλουθος. οἱ μὲν οἶνον ἔμισγον, οἱ δὲ σπόγγοισι νίζον, οἱ δὲ κρέα ἐμέριζον· καὶ ἄλλως τὸν παρατατικὸν τοῦ τίθημι ἐνεργητικῶς οἶδε λεγόμενον ὁ ποιητής, οὐ παθητικῶς· «παρὰ δέ σφι τίθει» (Od. α 142). ἀκόλουθον πληθυντικὸν «νίζον καὶ πρότιθεν». EM. 118. τὰ φρονέων μνηστῆρσι μεθήμενος εἴσι δ ’ Ἀθήνην προπαροξυτόνως ἀνέγνωμεν τὸ εἴσιδε, πᾶς γὰρ παρῳχημένος δισύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωσι τὸν τόνον· εἰσεῖδε (Il.

3,2 131 Ξ 158) εἴσιδε. Il. Pr. Z 244. 130. ὑπολῖτα : προπερισπαστέον· ἑνικὸν γάρ ἐστι μεταπλασθὲν ἀπὸ τοῦ λιτόν. PQ. 134. ἀδήσειεν : ψιλωτέον ἀηδήσειεν· ὅταν γὰρ ἐν συναλοιφῇ τὸ ψιλούμενον ἐν ἀρχῇ φωνῆεν ἐπικρατήσῃ, καὶ τὸ πνεῦμα αὐτοῦ κρατεῖ, οἷον ὦ ἑταῖρε, ὦταιρε. Q. ? 162. κυλίνδει : παρὰ τῷ ποιητῇ βαρύνεται ἀεί· δῆλον ἐκ τοῦ «προπροκυλινδόμενος» (Od. ρ 525) καὶ «ἥ τε κυλινδομένη» (Il. Π 794). M. 165. ἢ ἀφνειότεροι : κοιμιστέον τὸν ἤ· διασαφητικὸς γάρ ἐστιν ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικός. εὔξονται μᾶλλον ταχεῖς εἶναι ἤπερ πλούσιοι. HQ. 168. φῇσιν : τὸ φῇσιν σὺν τῷ ι ὡς τὸ «δῷσι πόλιν Τροΐην» (Α 129). προπερισπαστέον. ἐν παρολκῇ γάρ ἐστιν ἡ σιν . HMQ. 170. πόθεν εἰς : ἐγκλιτέον τὴν εἰς. ἀλλ’ οὐκ ἐγείρει τὴν θεν συλλαβήν. πυρριχιακὴ γάρ ἐστι. M. 174. εὖ εἰδῶ : τὸ εἰδῶ Τυραννίων μὲν βαρύνει, Ἀρίσταρχος δὲ περισπᾷ, ᾧ καὶ πειστέον. MQ. 175. ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι : ὁ δεύτερος η περισπᾶται. ἐρωτηματικὸς γάρ ἐστι. —καὶ τὸ ἐσσί ἐγκλιτέον. EM. 185. νηῦς δέ μοι ἧ δ’ : προπερισπαστέον τὸ ἧδε· ἔστι γὰρ ἀντωνυμία ἀναφορική. HMQR. * 186. ὑπὸ Νηΐῳ ὑλήεντι : ὁ Ἀπίων συνθέτως ἀνέγνω, ὁ δὲ Ἡλιόδωρος διαιρεῖ, ἵν’ ᾖ ὑπὸ τῷ Νηΐῳ. Bekk. An. 1158, Cr. An. Ox. IV 310. 192.

3,2 132 παρτιθεῖ : ἐνεστὼς χρόνος ἀπὸ τοῦ τιθῶ, διὸ περισπᾶται. P. 212. οὔ τ ’ ἐμὲ κεῖνος : πλήρης ἡ ἐμέ ἀντωνυμία. πρὸς γὰρ ἀντιδιαστολὴν παρείληπται. M. 214. τοιγὰρ ἐγώ τοι : τὸ πρῶτον τοί οὐκ ἔστιν ἀντωνυμία· οὐδέποτε γὰρ ἀρκτικὸν τὸ τοί· ἀλλ’ ἔστιν ἀντὶ τοῦ δή. BM. 215. μήτηρ μέν τέ μέ φησι : ἡ μὲν μέ ἀπόλυτος, ἡ δὲ ἐγώ ἀντιδιαστολὴν ἔχει πρὸς τὴν μητέρα. HM. 218. ὃν κτεάτεσσιν ἑοῖς ἐπὶ γῆρας ἔτετμεν : οὐκ ἀναστρεπτέον τὴν ἐπί. BE. 247. Ἰθάκην κατακοιρανέουσιν : εἰ μὲν πρὸς Ἰθάκην συντάττοις τὴν κατά, ἵνα τοπικὴν δηλώσῃς σχέσιν κατὰ Ἰθάκην, ἀναστρέψεις τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα ἔμφασιν δηλώσῃς τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσεις τὴν πρόθεσιν. Herod. ap. Io. Al. 26, 15. 251. τάχα δή με διαρραίσουσι καὶ αὐτόν : ἐχρῆν ὀρθοτονεῖσθαι τὴν ἀντωνυμίαν. ἀλλὰ τῷ μὴ ὁρᾶσθαι κατ’ ἀρχὴν τὸ ε οὕτως ἀνέγνωσαν. τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶσις δύναται ἐπακολουθεῖν (sc. δὴ ’μέ) καὶ οὕτως ῥῶσαι τὴν ὑγιῆ ἀνάγνωσιν. Il. Pr. I 614. 252. τὸν δ ’ ἐπαλαστήσασα : τὸ ἐπαλαστήσασα δηλοῖ τὸ ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλάστοις καὶ δεινοῖς οὖσι δεινοπαθήσασα. ἐὰν δὲ ᾖ χωρὶς τοῦ ε παλαστήσασα, ἔσται τῷ παλαιστῇ, ὅ ἐστι τῷ ἀγκῶνι τῆς χειρός, νύξασα. EVQ. 272. αὔριον : ψιλωτέον τὸ αὔριον. ἡ μὲν γὰρ αυ δίφθογγος πρὸ συμφώνου ψιλοῦται αὐλός αὔρα, αὔω τὸ φωνῶ. αὕω δὲ τὸ ξηραίνω δασύνεται. E. 276. ἕεδνα : δασύνεται τὸ ἕεδνα ὡς τὸ ἕερσα. M. 300. ἔκτα : πολλοὶ συστέλλουσι τὸ α τοῦ ἔκτα νομίζοντες ἀποκοπὴν εἶναι τοῦ ἔκτανε. ὁ δὲ Ἀρίσταρχος ἐκτείνει. MQ. 313. διδοῦσι : ἀπὸ τοῦ διδῶ. οἶδε δὲ αὐτοῦ τὴν κλίσιν ὁ ποιητής «δῶρα μὲν οὐκέτ’ ὀνοστὰ διδοῖς» (Il. I 164)· οἶδε δὲ καὶ τὸ δίδωμι. EQ. 320.

3,2 133 ὄρνις δ ’ ὡς ἀνόπαια : ὁ μὲν Ἀρίσταρχος ἀνόπαια προπαροξυτόνως ἀναγινώσκει ὄνομα ὄρνιθος λέγων· ὁ δὲ Ἡρωδιανὸς ἀνοπαῖα ἀντὶ τοῦ ἀοράτως, ἵν’ ᾖ οὐδέτερον πληθυντικὸν ὡς τὸ «πυκνὰ μάλα στενάχων» (Il. Σ 318). διὸ καὶ προπερισπαστέον φησίν. EHQR. 326. εἵα τ ’ ἀκούοντες : δασυντέον τὸ εἵατο. ἕατο γάρ ἐστι. τὸ δὲ ι προσελθὸν τηρεῖ τὸ αὐτὸ πνεῦμα ἕως εἵως, ἕνεκα εἵνεκα. EHMQ. 379. δῷσι : ὡς τὸ «δῷσι πόλιν Τροΐην» (Α 129). M. τὸ σι κατ’ ἐπέκτασιν. B. 395. πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ : ἡ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα «πολλαὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφιάλῳ Ἰθάκῃ» «ἀγχίαλόν τ’ Ἀντρῶνα» (Β 697), ὕφαλος. Il. Pros. O 705. 415. ἥντινα μήτηρ : τινὲς ψιλοῦσι τὸ «ἥντινα μήτηρ», ἵν’ ᾖ εἴ τινα. ἄμεινον δέ ἐστι δασύνειν. EQS. 428. δαΐδας : δαΐς ὀξυτόνως ἡ λαμπάς, δάϊς δὲ βαρυτόνως ἡ μάχη. S. 429. Εὐρύκλε ι ’ Ὦπος θυγάτηρ : Ὦπος προπερισπαστέον διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν. V. 443. οἰὸς ἀώτῳ : δισυλλάβως τὸ οἰός ἕνεκα μέτρου. Il. Pr. Γ 198. ΕΙΣ ΤΗΝ Β. 1. ἦμος : τὸ ἦμος τροχαϊκόν ἐστι καὶ διὰ τοῦτο ψιλοῦται. E. 23. ἀλ λ ’ οὐ δ ’ ὧς : περισπαστέον τὸ ὧς. H. 28. νῦν δὲ τίς ὧ δ ’ ἤγειρε : τὸ τίς πυσματικὸν ἐνθάδε τυγχάνον φυλάσσει τὸν ἴδιον τόνον. HMQS. 29. ἠὲ νέων ἀνδρῶν ἢ οἳ προγενέστεροί εἰσι ν; 30. ἦε τι ν ’ ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοι ο; 32. ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠ δ ’ ἀγορεύε ι; οὗτοι (sc. v. 29) μὲν ἐγκλίνονται διαζευκτικοὶ ὄντες, οἱ δὲ ἑξῆς (v. 30 et 32) περισπῶνται· ἐρωτηματικοὶ γάρ. HS. 31. ἥν χ ’ ἥμιν σάφα εἴποι : ἀπολύτως ἡ ἀντωνυμία, διὸ τὴν προτέραν ὀξυντέον. HS. 33. εἴθε οἱ αὐτῷ : ἀπολύτως ἡ οἱ. H. 58.

3,2 134 οὐ γὰρ ἔ π ’ ἀνὴρ οἷος Ὀδυσσεύς : τὴν ἐπί πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. ἔστι γὰρ σημαντικὴ ῥήματος ἡ πρόθεσις. Il. Pros. A 174. 60. ἦ καὶ ἔπειτα : οἱ μὲν γράφουσι περισπωμένως· οἱ δὲ ὀξυτόνως. καλῶς δὲ ἔχουσι καὶ τὰ δύο. H. 88. ἤ τοι περὶ κέρδεα οἶδεν : οὐκ ἀναστρεπτέον τὴν περί. ἔστι γὰρ περίοιδεν. M. 89. ἤδη γὰρ τρίτον ἐστὶν ἔτος , τάχα δ ’ εἶσι τέταρτον : προπερισπαστέον τὸ εἶσι· σημαίνει γὰρ τὸ διελεύσεται. M. 106. τρίετες : προπαροξυτόνως. H. 114. τῷ ὅτεῳ : ὅτεῳ ὡς Πηνέλεῳ. τὸ γὰρ τῷ μετὰ τὸ γενέσθαι ὅτῳ διῃρέθη ὡς τὸ ὅτου ὅτεο καὶ ἐν πλεονασμῷ τοῦ τ «εἰρήσεται ὅττεό σε χρή» (α 124). EM. 119. ἐϋπλοκαμῖδες Ἀχαιαί : τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, πλοκαμίς «ἐϋπλοκαμῖδες Ἀχαιαί». Il. Pr. B 175. 139. δαῖτας : ἀπὸ τοῦ δαίς δαιτός προπερισπωμένως, εἰ δὲ ἀπὸ τοῦ δαίτη δαίτης παροξυτόνως. S. 146. τὼ δ ’ αἰετώ : τινὲς τὸ τω περισπῶσιν ἐπὶ τοῦ Τηλεμάχου ἀκούοντες. HQS. 153. παρειάς : Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειά διὰ τῆς ει διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως. Schol. ad Aristoph. Av. 861. 157. Ἀλιθέρσης : τὸ Ἀλιθέρσης ψιλωτέον, εἰ καὶ παρὰ τὸ ἅλς ἐγένετο, εἰς ἰδιότητα τοῦ ὀνόματος. EM. 185. ἀνιείης : δασυντέον· ἔστι γὰρ ἀντὶ τοῦ ἀναπείθοις, ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν τῶν ἐφιέντων τοὺς ἱμάντας τοῖς κυσί. ψιλοῖ δὲ Ἑλλάνικος παρὰ τὴν ἀνίαν ἐκδεχόμενος τὸ λυποίης. εἰ δὲ τοῦτο, ἐχρῆν γράφειν ἀνιῴης· τοιαύτη γὰρ ἡ δευτέρα συζυγία. HMQRV. 210. ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι : παροξυτόνως ἡ ὑμέας ἀντωνυμία. ἔστι γὰρ ἀντιδιασταλτική. M. 222.

3,2 135 χεύω : Ἡρωδιανὸς χεύω, ἵν’ ᾖ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος. HM. 237. σφὰς γὰρ παρθέμενοι : ὀξυτονητέον τὴν σφάς. κτητικὴ γὰρ ἀντὶ τοῦ σφετέρας. BMQS. 240. ἄνεῳ : σὺν τῷ ι τὸ ἄνεῳ· εὐθεῖά ἐστι πληθυντικὴ ἀπὸ τοῦ ἄνεως. HM. 281. τῶ : γράφεται καὶ τώ μετὰ ὀξείας. H. 300. ἀνιεμένους : δασέως ἀπὸ τοῦ ἵημι. QER. 325. ἦ μάλα Τηλέμαχος φόνον ἥμιν μερμηρίζε ι . ἤ τινας ἐκ Πύλυ ἄξει ἀμύντορας ἠμαθόεντο ς , ἢ ὅγε καὶ Σπάρτηθε ν , ἐπεί νύ περ ἵεται αἰνῶς · ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλε ι. Ὁ μὲν πρῶτος η περισπᾶται, οἱ δὲ ἑξῆς ἅπαντες ἐγκλίνονται πλὴν τοῦ δευτέρου, ὃς ὀξύνεται διὰ τὸ τινάς. M. 370. οὐ δ ’ ἀλάλησθαι : προπαροξυτόνως. δηλοῖ γὰρ τὸ πλανᾶσθαι. MS. 434. πεῖρε κέλευθον : τὸ πεῖρε ἀντὶ τοῦ ἐπέρα. ἔνθεν καὶ τὸ «ἀλεγεινά τε κύματα πείρων» (Od. θ 183). EBQ. ΕΙΣ ΤΗΝ Γ. 7. πεντακόσιοι : οὕτω διὰ τοῦ α πεντακόσιοι Ἀρίσταρχος καὶ Ἡρωδιανός. HMQS. 8. ἑκάστοθι : ἐν ἑκάστῳ τόπῳ Ἀρίσταρχος καὶ Ἡρωδιανός. τινὲς δὲ ἑκάστοθεν, ὅ ἐστιν ἐξ ἑκάστης πεντηκοστύος. προπαροξύνεται δὲ ἀμφότερα. HMQS. 10. οἳ δ ’ ἰθὺς καταγοντο ἰ δ ’ ἱστία : Ἀρίσταρχος κάταγον, εἶτα τοὶ δ’ ἱστία. ὁ δὲ Ἡρωδιανὸς κατάγοντο· ὅμοιον καὶ ἐπὶ τοῦ «νίζον καὶ προτίθεντο ἰδὲ κρέα πολλὰ δατεῦντο» (Od. α 112). HM. 14.

3,2 136 οὐδηβαιόν : ἄδηλον πότερον ἐκ συναλοιφῆς ἐστι τὸ η ἢ τοῦ ἠβαιόν τρισυλλάβου. οἱ δὲ νεώτεροι βαιόν φασι. HMQ. 28. γενέσθαί τε τραφέμεν τε : οὐκ ἔστιν ἀναδιπλασιασμὸς τὸ «τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραφέμεν», ἀλλὰ σύνδεσμος. MQ. 34. αθροοι : ἁθρόοι Ἀρίσταρχος, τινὲς δὲ τὸ ἄθροοι ὡς ἄχροοι τῇ προσῳδίᾳ ἀναγινώσκουσιν. HM. 35. ἑδριάασθαι : τὸ δεύτερον συνέσταλται α ἐν τῷ ἑδριάασθαι. H. 46. δέπᾳ μελιηδέος οἴνου : σὺν τῷ ι γράφεται. Il. Pr. Λ 385. μελιηδέος : δασυντέον τὸ μελιηδέος. H. 50. τοὔνεκά σοι : ἐχρῆν ὀρθοτονεῖν τὴν σοί. Ζηνόδοτος δέ «τοὔνεκά τοι» γράφει ἀγνοῶν ὅτι ἐπὶ τῆς διαστολῆς οὐ λαμβάνεται ἡ τοι. HMQ. 59. σύμπασιν : σύνθετον τὸ σύμπασι· διὸ προπαροξύνεται. H. 69. μεταλλῆσαι καὶ ἔρεσθαι : ἐν ἑτέροις διαλαμβάνων περὶ τοῦ «μεταλλῆσαι καὶ ἔρεσθαι» ἀξιούντων πάντων τὸ ἐρέσθαι ὁμοίως τῷ πυθέσθαι, ἐπειδήπερ ὁ δεύτερος ἀόριστός ἐστιν, ἀπεφηνάμην ὡς ἡ παράδοσις τρίτην ἀπὸ τέλους ἐποίησε τὴν ὀξεῖαν οὐ τῷ σημαινομένῳ πεισθεῖσα ἀλλὰ τῷ χαρακτῆρι τῆς φωνῆς, ἐπεὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαροξύνεται ὄντα ἐνεστῶτος οἷον φέρεσθαι δέρεσθαι, ἃ εἶχε τὴν ρε συλλαβὴν πρὸ τέλους τῆς ἀρχούσης συλλαβῆς εἰς τὸ ε ληγούσης —οὕτως καὶ τὸ ἔρεσθαι ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα προπαρωξύνετο οὐ τῷ λόγῳ τοῦ ἀορίστου, τῇ δὲ ὁμοιότητι τῆς φωνῆς. Il. Pr. Π 47. 72. ἤ τι κατὰ πρῆξιν ἦ : ὁ πρῶτος η σύνδεσμος ὀξύνεται διὰ τὸ τι, ὁ δὲ δεύτερος περισπᾶται. ἐρωτηματικὸς γάρ. PM. 134. τῶ σφεων πολέες : ἐγκλιτικὴ μὲν ἡ σφέων. ὅμως τὸ τῶ πάλιν περισπασθήσεται. 137. ἀγορὴν ἐς πάντας Ἀχαιούς : βούλονται τῆς ἐς προθέσεως ῥωννύναι τὸν τόνον ἵνα δυνάμει ἀναστροφὴ γένηται κατὰ τὸ ὄρνιθες ὥς. EH. 149. ἕστασαν : δασύνεται· ἀντὶ γὰρ τοῦ εἱστήκεισαν ἐστί. M. 170.

3,2 137 ἠ καθύπερθε : ὁ ἤ σύνδεσμος δύο τόνω ἐπιδέχεται ἢ περισπωμένην ἢ βαρεῖαν, ὅπερ κάλλιον. E. 179. μῆ ρ' : μῆρα ὡς μῆλα. HQ. 195. ἐπισμυγερῶς : περισσὴ ἡ ἐπί ὡς ἐν τῷ «βοῶν ἐπιβουκόλος» (422). BEHQ. 214. εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι ἦ σέ γε λαοί : ὁ μὲν πρῶτος ἤ ὀξύνεται, ὁ δὲ δεύτερος περισπᾶται. H. 219. περικήδετο : ὑφ' ἓν τὸ περικήδετο ἀντὶ τοῦ ὑπερεκήδετο· οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. HM. 247. σὺ δ ' ἀληθὲς ἐνίσπες : τὸ προστακτικὸν πρὸ τέλους ἔχει τὴν ὀξεῖαν, τὸ δὲ ὁριστικὸν προπαροξύνεται. Il. Pr. Ω 388. 255. ἤτοι μὲν τάδε κ ' αὐτὸς ὀΐεαι : τὸ πλῆρές ἐστι τῆς συναλοιφῆς κέν ἀντὶ τοῦ δή. τὸ δὲ ὅμοιον ἐν Ἰλιάδι (Ζ 260) «ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι». HM. 268. εἴρυσθαι : ὥσπερ γίνεται ἀπὸ τοῦ εἰλίσσω εἰλίξας, οὕτως καὶ ἀπὸ τοῦ εἰρύω εἴρυμι τὸ εἴρυσθαι. B. 272. τὴν δ ' ἐθέλων : Ὅμηρος τρισυλλάβως. H. 296. ἐς Φαιστόν : ὀξύνεται τὸ Φαιστόν ἐπὶ τῆς πόλεως, ἐπὶ δὲ τοῦ ἥρωος προπερισπᾶται. Il. Pr. E 43. 380. ἵληθι : ἀπὸ τοῦ ἵλημι. διὰ τὸ μέτρον ἐκτέταται ἡ παραλήγουσα ὡς ἐν τῷ «δίδωθι δέ μοι κλέος ἐσθλόν». ὑγιῶς οὖν Καλλίμαχος ἔκλινεν «ἵλαθί μοι, φαλαρῖτι πυλαιμάχε». 391. ενδεκάτῳ ἐνιαυτῷ : ἀμφίβολον κἄν τε δεκάτῳ κἄν τε ἑνδεκάτῳ. E. 392. ὤϊξεν : τὸ ι προσγεγραμμένον· ἐξεφωνήθη δὲ καὶ τὸ ι . E. 402. αὐτὸς δ ' αὖτε καθεῦδε : γράφεται καὶ «αὐτὸς δ' αὖτ' ἐκάθευδε. H. 411. Νέστωρ δ ' αὐτὸς ἔφιζε : συστέλλειν δεῖ τὸ ι καὶ προπαροξύνειν τὸ ἔφιζε. Il. Pr. Γ 426. 422. ἐπιβουκόλος ἀνήρ : παρέλκει ἡ ἐπί, διὸ φυλάσσεται ὁ τόνος ὁ αὐτός. Il. Pr. I 456. 441. ἑτέρῃ δ ' ἔχεν οὔλας : τὸ οὔλη τὸ ἐπὶ τῶν κριθῶν ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή (Od. ω 331). Il. Pr. T 26. 444.

3,2 138 Περσεὺς δ ' ἀμνίον εἶχε : ἀμνίον ὡς πηνίον. HM. Ζηνόδοτος δὲ ἐν ταῖς ἀπὸ τοῦ δ γλώσσαις τίθησι τὴν λέξιν. M. καὶ Νίκανδρος δὲ καὶ Θεοδωρίδας ἀπὸ τοῦ δάμνασθαι προφέρονται ἀσυνδέτως δαμνίον· Πορσίλος (?) δὲ ὁ Ἱεραπύτνιος παρὰ Ἱεραπυτνίοις ἔτι σώζεσθαι τὴν φωνὴν αἱμνίον δασέως μετὰ τοῦ ι κατ' ἀρχὴν προφερομένην παρὰ τὸ αἷμα. καὶ Ἀπολλόδωρός φησιν ὡς εἰκὸς ἦν καὶ παρὰ τῷ ποιητῇ οὕτως αὐτὸ προφέρεσθαι, ὑπὸ δέ τινων περιῃρῆσθαι τὸ ι . HMQR. 490. νύκ τ ' ἄεσαν : συνέσταλται τὸα · ἀλλαχοῦ δὲ «νύκτα μὲν ἀέσαμεν» (Od. γ 151). HQ. ΕΙΣ ΤΗΝ Δ. 1. κητώεσσαν : ὥσπερ τὸ ἡβώωσα ἐκτείνει διὰ τὸ εἶναι τὸ πρὸ αὐτῆς μακρὸν τὸ η καὶ τὸ τηλεθόωσα σμικρύνει διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆς συλλαβὴν βραχεῖαν ἤτοι τὸ λε —οὕτω κητώεις καὶ ὠτώεις καὶ κηώεις καὶ ὅσα τοιαῦτα ἐκτείνει, συστέλλει δὲ τὸ ἐρόεις κερόεις ἐρόεσσα κερόεσσα ἠερόεσσα καὶ ὅσα τοιαῦτα. E. 3. ἔτῃσιν : ψιλῶς ἔτησιν εἴτε ἐπὶ τοῦ πολίτου

εἴτε ἐπὶ τοῦ ἑταίρου. M. 10. υἱέϊ : τρισυλλάβως· «υἱέϊ σῷ ἑπόμην» (Il. Γ 174). Q. 26. τώδε : παροξυτονητέον, ἵνα νοηθῇ δυϊκόν. M. 28. ἀλ λ ’ εἴ π ’ ἤ σφωϊν : ἐγκλιτέον τὸ σφωϊν, ἵνα τρίτον γένηται πρόσωπον. M. 29. ἦ ἄλλον : περισπαστέον τὸν ἦ ἐρωτηματικόν. B. 31. Βοηθοίδη : τετρασυλλάβως· ὅμοιον δέ ἐστι τοῦ «Πανθοίδης Εὔφορβος» (Π 808). HM. 62. οὐ γὰρ σφῶν γε γένος : χωρὶς τοῦ ι ἡ σφῶν, ὡς Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 110) γράφει αὐτὴν μετὰ τοῦ ι , ἵν’ ᾖ δευτέρου προσώπου κατὰ συναίρεσιν. ἀλλ’ οὐκ ἔστι ποτὲ παρὰ τῷ ποιητῇ γενικὴ καὶ δοτικὴ μὴ ἐκφωνοῦσα τὸ ι .

3,2 139 τὸ γὰρ ὤμοιν καὶ ποδοῖν λέγει ὤμοιϊν καὶ ποδοῖϊν καὶ τὸ τοῖν μετὰ τοῦ ι λέγει τοῖιν δισυλλάβως. HM. 70. ἵνα μὴ πευθοία θ ’ οἱ ἄλλοι : οὕτως Ζηνόδοτος. ὁ δὲ Ἀρίσταρχος πευθοίατο ἄλλοι χωρὶς τοῦ ἄρθρου ὡς Ἡρωδιανός φησιν. HM. 83. καὶ Αἰγυπτίους ἐπαληθείς : ἐπαληθείς πλανηθείς. οἱ δὲ «ἐπ’ ἀληθεῖς» ἐπὶ τοὺς ἀληθεῖς Αἰγυπτίους ὅτι μαντικῆς ἔμπειροι. V. 94. ὔμμιν : Αἰολικῶς ψιλοῦται. E. 119. ἕκαστα τε πειρήσαιτο : ἔνιοι γράφουσι κακῶς ἕκαστα τ’ ἐπειρήσαιτο ἀντὶ τοῦ ἐπερωτήσειεν. HMQ. 123. ἅ μ ’ Ἀδρήστη : τρισυλλάβως τὸ Ἀδρήστη ὡς Ἡρωδιανὸς καὶ Ἀρίσταρχος καὶ κύριον ἀκουστέον· τινὲς δὲ δρήστη οἱονεὶ θεράπαινα (sc. ἅμα δρήστη). HM. 131. ὑπόκυκλον : κατὰ σύνθεσιν ἀναγνωστέον. Il. Pr. Σ 375. 165. ἕωσιν : ὡς λέγωσι, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. σημαίνει γὰρ ὑπάρχωσιν· ὅτε δὲ ἀπὸ τοῦ ἐῶ ἐᾷς κέκλιται, προπερισπαστέον «οὐ μέν ς’ οὐδ’ ἐῶσιν» (δ 805). HQR. 166. οὐδέ οἱ ἄλλοι : ἐγκλιτικὴ νῦν ἐστιν ἡ οἱ, διὸ τοῦ συνδέσμου φυλακτέον τὸν τόνον. H. 221. κακῶν ἐπίληθον ἁπάντων : ὁ Ἀσκαλωνίτης προπερισπᾷ μετοχὴν ἀκούων. Ἀρίσταρχος δὲ προπαροξύνει ὄνομα ἐκδεχόμενος. οὕτω δὲ καὶ ἡμῖν ἀρέσκει, ἐπεὶ καὶ τὰ προκείμενα ἐπίθετα ἦν «νηπενθές τ’ ἄχολόν τε». HQ. 228. Πολύδαμνα : εἴτε κύριόν ἐστιν ὄνομα ἡ Πολύδαμνα ὡς Μήθυμνα, εἴτε ἐπιθετικὸν τῶν φαρμάκων, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. βέλτιον δὲ ὄνομα κύριον αὐτὸ δέχεσθαι, ἐπεὶ καὶ Εὐφορίων ἐν Διονύσῳ φησὶ «βλαψίφρονα φάρμακα χεῦεν, ὅσς’ ἐδάη Πολύδαμνα, Κυτηϊὰς ἢ ὅσα Μήδη». HQ. Θῶνος παράκοιτις : ἀπὸ τοῦ Θόωνος (sc. κατὰ κρᾶσιν)· τὸν αὐτὸν δὲ λέγουσιν εἶναι τὸν Θῶνιν (sc. sic ut Θῶνος per syncopen ex Θώνιος factum esse sumatur). Q. 242. ἀλ λ ’ οἷον τό δ ’ ἔρεξε : Παρμενίσκος ἐψίλου τὸ οἷον, ἵν’ ᾖ τοῦτο μόνον ἐρῶ. ἄμεινον δὲ θαυμαστικῶς ἀναγινώσκειν. HPQ. 244.

3,2 140 αὐτόν μιν : ψιλῶς. οὐκ οἶδε τὴν αὑτὸν σύνθετον ὁ ποιητής. H. 260. χαῖ ρ ’ ἐπεὶ ἤδη μοι : ἄμεινον τὸν ἤδη χρονικῶς δέχεσθαι κατὰ Ἀρίσταρχον. Κράτης δὲ δύο ποιεῖ ἦ καὶ δή, διὸ καὶ περισπᾷ τὸ η . οὐδέποτε δὲ ὁ ἦ ὢν βεβαιωτικὸς μεταξὺ τοῦ ἐπεί καὶ τοῦ δή εὑρέθη. HQ. 294. τράπε θ ’ ἥμεας : ἀπόλυτος ἡ ἥμεας. διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. H. 304. καθεῦδε : προπερισπωμένως τὸ καθεῦδε. H. 311. Τηλεμάχῳ δὲ πάριζεν : ἐὰν ἓν μέρος λόγου ᾖ τὸ πάριζεν, προπαροξυνθήσεται ὡς «Νέστωρ αὖ τότ’ ἔφιζεν» (γ 411). ἐὰν δὲ ἡ παρά πρὸς τῷ Τηλεμάχῳ συντάσσηται, προπερισπᾶται. οὐκ ἀναστρέφεται δὲ ἡ παρά, ἐπεὶ κατ’ ἔκθλιψίν ἐστιν. ἄλλως τε καὶ μέσον πέπτωκεν ὁ δέ. Q. 371. νήπιός εἰς : ἐγκλιτικὸν τὸ εἰς. E. 372. ἠὲ ἑκὼν μεθίεις : ἄμεινον κοιμίζειν τοῦ ἠέ τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός. ὅτε γάρ ἐστι διαπορητικὸς ὁ η , περισπᾶται ὡς τὸ «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (Α 192). EQ. 386. ὑποδμώς : παρέλκει ἡ ὑπό, διαφυλάττει δὲ τὴν ὀξεῖαν. EQ. 396. μή πως με προϊδών : τὸ πῶ καὶ πῶς ἐμελέτησεν ἐγκλιτικῶν ἐπιφερομένων μὴ ὀξυτονεῖσθαι. Il. Pr. Υ 464. 419. πιέζειν : πιέζειν ὡς δικάζειν. φησὶ γοῦν «ἐπὶ μάστακα χειρὶ πίεζε» (287). Ἀπίων μέντοι περισπᾷ «χερσὶ στιβαρῇσι πιέζευν» (μ 174). Q. 423. εἴρεσθαι ὡς φθείρεσθαι, ἔστι γὰρ ἐνεστῶτος καὶ παρατατικοῦ. P. 500. Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσε : τὸ Γυρῇσιν εἰ καὶ ἰδίως λέγεται, ἀλλ’ ὅμως ἔχει τάξιν ἐπιθετικήν. Mon. 17, 30. 527. μή ἑ: νῦν ἐγκλιτική ἐστιν ἡ ἑ. P. 545. πεῖρα : βαρυτόνως καὶ χωρὶς τοῦ ι . προστακτικὸν γάρ ἐστιν. PT. 546. ἢ γάρ μιν ζωόν γε κιχήσεαι ἤ κεν Ὀρέστης : διαζευκτικοί εἰσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ δύο σύνδεσμοι. διὸ ὁ μὲν πρῶτος βαρεῖαν δέχεται, ὁ δὲ δεύτερος διὰ τὸν κέ ἐγκλιτικὸν ὄντα τηρεῖ τὴν ὀξεῖαν. Q. 619.

3,2 141 κεῖ ς ʼ ἐμέ : ὀρθοτονητέον τὸ ἐμέ. HP. 642. καὶ τίνες : οἱ μὲν τὸν καί ὀξύνουσιν, ἵνʼ ᾖ καί τινες αὐτῷ. κακῶς· ἐγράφετο γὰρ ἂν κʼ εἴ τινες. HP. 643. ἧ ἑοί : ὁ μὲν ἧ περισπᾶται. διαπορητικὸς γάρ. ἡ δὲ ἑοί ἀντωνυμία κτητική ἐστιν ἐν πλεονασμῷ τοῦ ε . P. 652. με θ ʼ ἡμέας : πρὸ τέλους ἡ ὀξεῖα. ὀρθοτονεῖται γὰρ διὰ τὴν πρόθεσιν καὶ τὴν ἔμφασιν. P. 659. ἄμυδις : ψιλωτέον τὸ ἄμυδις. δῆλον κἀκ τῆς συναλοιφῆς «οἵ τʼ ἄμυδις κονίης» (N 336). PQ. 664. φάμεν δέ οἱ οὐ τελέεσθαι : τὸ ἔφαμεν ἐντελές ἐστιν. Il. Pr. O 735. 665. ἐκ τοσσωνδε : οἱ πλείους ὡς δύο μέρη τοῦ λόγου ἀνέγνωσαν ἐν δυσὶ ὀξείαις ὡς τὸ «τοίῃ δʼ ἀμφὶ γυναικί» (Γ 157). ὁ δὲ Ἀσκαλωνίτης περισπωμένως κατʼ ἐπέκτασιν. PQ. 667. ἀλλὰ οἷ αὐτῷ : ἐχρῆν ὀρθοτονεῖν τὴν οἱ. ἔστι γὰρ ἀντιδιασταλτικὴ καὶ προηγεῖται τῆς αὐτός. ἀλλʼ ὅμως ἐγκλιτικῶς ἀνεγνώσθη. H. 683. σφίσι δ ʼ αὐτοῖς δαῖτα πένεσθαι : ἡ σφίσι καίπερ εἰς ἁπλῆν μεταλαμβανομένη ὀρθοτονεῖται· οὐ γὰρ δὴ οἱ μνηστῆρες τὴν δαῖτα ἑαυτοῖς παρεσκεύαζον, ἕτεροι δὲ αὐτοῖς. Il. Pr. Δ 2. 686. οἳ θά μ ʼ ἀγειρόμενοι : διχῶς οἵ θʼ ἅμα καὶ οἳ θαμά, ὃ καὶ ἄμεινον ὡς καλά. HP. 728. ἀκλέα ἐν μεγάρῳ (nunc ἐκ μεγάρων): συσταλτέον τὴν τελευταίαν τοῦ ἀκλέα ὁμοίως τῷ «δυσκλέα Ἄργος ἱκέσθαι» (B 115). Il. Pr. B 115. 744. ἢ ἔα ἐν μεγάρῳ : τινὲς δασύνουσι τὸ ἥ ὡς ἄρθρον. τὸ δὲ ἔα ῥῆμα πρώτου προσώπου φασίν, ἵνʼ ᾖ, ἥτις ἤμην ἐν τῷ μεγάρῳ. PQ. 753. ἡ γάρ κέν μιν : δασυντέον τὸ ἡ. ἔστι γὰρ ἀντὶ ἀντωνυμίας τῆς αὕτη. P. σαώσαι : πρὸ τέλους ἡ ὀξεῖα. ἔστι γὰρ εὐκτικόν. P. 782. τροποῖς : περισπωμένως. δηλοῖ γὰρ τοὺς τροπωτῆρας, περὶ οὓς αἱ κῶπαι τρέπονται καὶ στρέφονται ἐν ἱμᾶσι τοῖς περιδεδεμένοις ταῖς κώπαις. V. 800. εἵως : δασυντέον τὸ εἵως. H. 806. ἀκάχησθαι : οἱ πλείους ἀκάχησθαι ὡς λέγεσθαι ὡς Αἰολικῆς τῆς κλίσεως οὔσης. ὁ δὲ Ἀσκαλωνίτης ὡς πεποιῆσθαι. HP. 807.

3,2 142 ἀλιτήμενος : τὸ ἀλιτήμενος εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ συστολὴν τῆς ἀρχούσης· εἰ δὲ προπαροξύνεται, ἐνεστώς ἐστιν Αἰολικὸς ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος. T. 846. ἔνι : ἔνεισι. διὸ ἀναστρέφεται. P. ΕΙΣ ΤΗΝ Ε. 16. οὐ γάρ οἱ πάρα νῆες : ἀναστρεπτέον τὴν πάρα. ἀντὶ γὰρ τοῦ πάρεισι ἐστίν. P. 27. παλιμπετές : ἀντὶ τοῦ παλιμπετεῖς ὡς «ἐς δʼ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν» (A 142). BP. 38. ἐσθῆτά τε δόντες : ψιλωτέον τὸ ἐσθῆτα. πᾶν γὰρ φωνῆεν τὸ ς ἔχον ἐπιφερομένου δασέος ψιλοῦται, ἀσχάλλων, ἄσθμα, ἐσθλός, ὄσχος. BHP. 39. Τροίης ἐξήρατο : Τροίης δισυλλάβως, ἵνα τὴν χώραν ἀκούσωμεν. P. 40. λαχὼν ἀπὸ ληΐδος αἶσαν : ἡ ἀπό παρέλκει. διὸ τηρεῖ τὸν τόνον. P. 47. εἵλετο δὲ ῥάβδον : βραχὺ τὸ α τοῦ ῥάβδον. P. 51. λάρῳ ὄρνιθι ἐοικώς : τὸ λάρος βαρυνόμενον συστέλλειν θέλει τὸ α . Mon. 35, 16. 71. ἄλλυδις ἄλλη : τὸ ἄλλη εὐθεῖα, ὅθεν οὐδὲ τὸ ἰῶτα προσγραπτέον. P. 72. λειμῶνες μαλακοὶ ἴου : τινὲς περισπῶσιν, ἵνʼ ᾖ κατὰ συναλοιφὴν (sc. μαλακοῖʼ ἴου), οὐκ εὖ. H. 83. ἐρέχθων : ὡς κατέσθων. δῆλον δὲ ἐκ τοῦ «νῆα θοὴν ἐρεχθομένην ἀνέμοισι» (Ψ 317). P. 106. ἄστυ πέρι : ἀναστρεπτέον. ἔστι γὰρ περὶ ἄστυ ὡς «ἀμφὶ πόλιν Καλυδῶνα» (I 530). HP. 110. ἀπέφθιθεν : ὡς κόσμηθεν. HPQ. 123. ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνή : Ἀπίων τὸ ἁγνή περισπᾷ κατὰ δοτικὴν ἀκούων ἐν Ὀρτυγίῃ ἁγνῇ. HPQ. 129. ἄγασθε : ὡς δύνασθε τοῦ δευτέρου α συστελλομένου. δυνατὸν δὲ καὶ ὡς ἠγᾶσθε. οἶδε γὰρ αὐτοῦ καὶ τὸ κατὰ διαίρεσιν ὡς τὸ «θεαῖς ἀγάασθε» (119) καὶ «τόφρα οἱ ἠγάασθε θεοί» (122). P. 146. νῦ ν· τὸ νῦν ἔφαμεν ἐκτείνεσθαι παρὰ τῷ ποιητῇ, εἰ μὴ μέτρον κωλύοι. P. 163.

3,2 143 ἴκρια : ὡς ἴχνια. HP. 182. ἦ δὴ : περισπαστέον τὸν η . ἔστι γὰρ βεβαιωτικός. P. 196. ἐτίθει πάρα πᾶσαν : ἀναστρεπτέον τὴν πρόθεσιν. P. 208. ἔνθα δέ κ ʼ αὖθι μένων : ἔνθα δὲ δύο μέρη λόγου Il. Pr. I 398. ἔστι δεικτικὸν τῆς ἐν τόπῳ σχέσεως, ὥστε πρὸ τῆς δε συλλαβῆς ἡ ὀξεῖα. Il. Pr. Y 390. 236. στειλειόν : ὀξυτονητέον τὸ στειλειόν. PQ. 240. περίκηλα : Ἀρίσταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος τὰ περικεκαυμένα ὑπὸ ἡλίου· Χρύσιππος δὲ διῄρει, περὶ κῆλα περισσῶς ξηρά. P.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

248. ἁρμονιῇσιν : προπερισπωμένως. ἔστι γὰρ Ἰώνων ὁ καταβιβασμός. HP. 272. ὀψὲ δύοντα Βοώτην : τὸ ὀψὲ δύοντα ἐν δυσὶ μέρεσι λόγου. εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ι ἐγράφετο. Il. Pr. Φ 232. 281. εἴσατο δ ʼ ὡς ὅτε ῥινόν : οἱ μὲν ἀναγινώσκουσι ὡς ὅτε ῥινόν ἐκδεχόμενοι ὡσανεὶ δέρμα βοὸς ἐφηπλωμένον τοῖς ὕδασι. ὁ δὲ Ἀρίσταρχος ὡς ὅ τ ʼ ἐρινόν ἐρινὸν παραλαμβανόμενος αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους ὡς ὁ δίφρος τὸ δίφρον. τὸν γὰρ καρπὸν μὴ νοεῖσθαι, ἐπεὶ βραχύς ἐστι πάνυ. οὐ μέντοι Ἀριστάρχῳ συγκατατίθεμαι. VPT. 290. ἅδην : δασέως τὸ ἅδην. BPQ. 319. τὸν δ ʼ ἅ ρ ʼ ὑπόβρυχα θῆκε : εἴτε ἐπίρρημα εἴτε ἀπὸ τοῦ ὑπόβρυξ, προπαροξυνθήσεται. BEPQ. 329. 330. καὶ τὸ ἀμπεδίον καὶ τὸ ἀμπέλαγος διὰ τοῦ μ γραπτέον. P. 335. θεῶν ἐξέμμορε τιμῆς : δύναται πρὸς ἀμφοτέρας χωρεῖν ἡ λέξις. 346.

3,2 144 τανύσσαι : τὸ τανύσσαι ἀπαρέμφατον διὰ τὸ βαλέειν. P. 357. ὅτε με σχεδίης ἀποβῆναι ἀνώγει : χωρίζει Ἀριστοφάνης ὅ τε ἀντὶ τοῦ διό τε. HP. 364. πάρα : ἀναστρεπτέον τὴν πάρα. δηλοῖ γὰρ τὸ πάρεστιν. HMT. 368. ὡς δ ʼ ἄνεμος ζαὴς ἠΐων : ὀξυτόνως τὸ ζαής. BHPT. 377. ἀλόω : διαίρεσίς ἐστι τοῦ ἀλῶ, διὸ βαρυτόνως ἀναγνωστέον. PT. 389. πλάζετο : ὁ μὲν Ἀρίσταρχος τὸ πλάζετο Αἰολικῶς ἐκτείνων τὸ α ἐπὶ τοῦ ἐπλήσσετο λαμβάνει, ἔνιοι δὲ ἐπὶ τοῦ ἐπλανᾶτο. PQ. 391. αὐτί κ ʼ ἔπει τ ʼ ἄνεμος μὲν ἐπαύσατο , ἡ δὲ γαλήνη : Ἀρίσταρχος ἡ δέ ἄρθρον δεχόμενος τὸ η . οἱ δὲ ἀντὶ τοῦ καί. H. 402. ξερόν : συστολὴ τοῦ η εἰς ε . E. 418. ἠϊόνας τε παραπλῆγας : ὀξυτόνως τὸ παραπλήξ. EPQT. 430. καὶ τὸ μὲν ὣς ὑπάλυξε : τινὲς περιέσπασαν τὸ ὧς, ἵνα σημαίνῃ τὸ ὅμως, ἔνιοι δὲ ὤξυναν. BPT. 433. πρὸς κοτυληδονόφιν : ὡς χαλκόφιν. PQ. 436. ὑπὲρ μόρον : δύο εἰσὶ μέρη λόγου. 439. νῆχε παρέξ : ὀξύτονον τὸ παρέξ. P. 478. τοὺς μέν : συνέσταλται Ἰακῶς. P. 481. ἔφυν : τὸ ἔφυν συσταλτέον. P. ἐπαμοιβαδίς : ὀξύνεται. Il. Pr. Ξ 463. 484. ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι : παραδιαζευκτικὸς ὁ ἤ. Il. Pr. Θ 290. ἔρυσθαι : προπαροξυτόνως, ἵνα σημαίνῃ παρατατικόν. P. ΕΙΣ ΤΗΝ Ζ. 6. οἵ σφεας : ὀξυτονητέον τὸ οἱ ἄρθρον. ἐγκλιτικὸν γάρ ἐστι νῦν ἡ σφέας. P. 12. θεῶν ἄπο μήδεα εἰδώς : ἀναστρέφεται ἡ ἀπό. τὸ γὰρ ἑξῆς ἐστιν ἀπὸ θεῶν εἰδὼς μήδεα. Io. Al. 27, 10. 15.

3,2 145 ᾧ ἔνι κούρη : ἀναστρεπτέον τὴν ἔνι, ἔστι γὰρ ἐν ᾧ. P. 18. χαρίτων ἄπο κάλλος ἔχουσαι : ἀναστρέφεται ἡ ἀπό. τὸ γὰρ ἑξῆς ἐστιν ἀπὸ χαρίτων κάλλος ἔχουσαι. H. 22. εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος : περισπωμένου τοῦ ναυσικλειτοῖο. τινὲς δὲ Ναυσικλειτοῖ ὡς Καλυψοῖ. ἔνιοι δὲ ναυσὶ κλειτεῖο ἐν δυσὶ μέρεσι λόγου. ἀμείνων δὲ ἡ πρώτη ναυσικλειτοῖο ἐν τοῖς κατὰ ναυτικὴν ἔργοις ἐνδόξου. PQ. 32. καί τοι ἐγὼ συνέριθος : ἡ τοί ἐγκλιτική ἐστιν. Il. Pr. Α 294. 33. ἐντύνεαι : συστολὴ ἐγένετο ἢ μεταβολὴ ἐγκλίσεως ὡς καὶ ἐπὶ τοῦ «ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων» (Ι 409) καὶ «ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν» (ξ 400). P. 40. ἄπο πλυνοί εἰσι πόληος : βαρυτονητέον τὴν ἀπό καίπερ σημαίνουσαν τὸ ἄποθεν, οὐ γὰρ ἐπλησίασε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἐδέξατο λέξεις. P. 89. ποταμὸν πάρα δινήεντα : Ἀρίσταρχος ἀναστρέφει τοῖς κυριωτέροις συντάσσων τὰς προθέσεις. P. 93. κάθηράν τε ῥύπα πάντα : κάθηραν ὡς ἤγειραν. τὸ δὲ ῥύπα οἱ μὲν αἰτιατικὴν ἐν μεταπλασμῷ φασιν, οἱ δὲ ἀπὸ τοῦ ῥύπον. βαρύνεται δὲ ὡς τὰ λύχνα καὶ τὰ δίφρα. BPQ. 106. ἀγρονόμοι : παροξυτόνως αἱ ἐν ἀγρῷ νέμουσαι. οὐ γὰρ νεμόμεναι. τινὲς δὲ ἀγρόνομοι λέγουσι. HPQ. 120. ἦ ῥ' οἵ γ' : ὡς διαπορητικὸν περισπᾶται. P. 125. ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδόν : ὁ ἦ περισπᾶται. τὸ δὲ εἰμί ἐγκλίνεται σημαῖνον τὸ ὑπάρχω. P. 138. ἄλλυδις ἄλλη : χωρὶς τοῦ ι τὸ ἄλλη. P. 149. θεός νύ τις ἦ βροτός ἐσσι : τὸν η ὁ Ἀσκαλωνίτης περισπᾷ ἐρωτηματικὸν νομίζων, ὃ καὶ χαριέστερον. οἱ δὲ ἐνέκλιναν ὡς εἰ ἔλεγεν εἴτε θεὸς εἴτε ἄνθρωπος. P. 159. ὅς κέ ς ʼ ἐέδνοισι βρίσας : ἄμεινον ἐγκλίνειν τὴν σε. H. 200. ἦ μή που : περισπᾶται τὸ ἤ, τὸ δὲ μή ὀξύνεται. PH. δυσμενέων φάσ θ ʼ ἔμμεναι : Τυραννίων εὐστέλλει ἀπὸ τοῦ φημί ὁμοίως τῷ «καὶ ἀγγελίην ἀπόφασθε» (Ι 649). τινὲς δὲ ὁμοίως τῷ νικᾶσθε, ὡς καὶ ἐπεκράτησεν. HQ. 264. εἰσίθμη : τὸ εἰσίθμη βαρύνεται ὡς στάθμη. BHQ. 265.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,2 146 ἐπίστιον : Ἰακὴ ἡ συναλοιφή. τῷ δὲ τόνῳ ὡς ἐπίκριον. Q. 278. ἦ: βεβαιωτικῶς ἀναγνωστέον. H. 280. ἥ: οὗτος ὀξύνεται, ὁ δὲ ἑξῆς (v. 283) περισπᾶται. H. 297. ἥμεας : ἀπόλυτος ἡ ἥμεας. H. 330. ζαφελῶς : Ἀρίσταρχος περισπᾷ τὸ ζαφελῶς καὶ οὕτως ἐπεκράτησεν. ἔδει δὲ βαρυτόνως. P. ΕΙΣ ΤΗΝ Η. 39. ναυσικλυτοί : ὡς ἀγακλυτοί ἐν συνθέσει καὶ κατ' ὀξεῖαν τάσιν. ἡ γὰρ ναυσὶ δοτικὴ παρὰ τῷ ποιητῇ, ὅταν κατ' ἰδίαν λέγηται, διὰ τοῦ η γράφεται «ὡς οἱ μὲν παρὰ νηυσί» (Υ 1) «νηυσὶ θοῇσι τοίγε πεποιθότες» (η 34), διὰ τοῦ α , ὅτε ἐν συνθέσει Ναυσικάα Ναυσίθοος. HPQT. 40. διὰ σφέας : ὀρθοτονητέον τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεσιν. P. 114. ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι : τὰ εἰς σι λήγοντα ῥήματα τὴν πρὸ τέλους ἔχει φύσει μακρὰν ἑστήκασι, βεβασιλεύκασι, τετύφασι, γεγράφασι, νενοήκασιν. οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις συστολὰς ποιοῦται. τοιοῦτον καὶ τὸ «ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι». Mon. 29, 6. 115. μηλέαι : τὸ μηλέαι ὡς ἰτέαι καὶ συκέαι, ὃ κατὰ κρᾶσιν γέγονε καὶ συκαῖ ὡς γαλαῖ. P. 152. φίλων ἀπὸ πήματα πάσχω : οὐκ ἀναστρεπτέον τὴν ἀπό. δηλοῖ γὰρ τὸ ἄποθεν. P. 197. κατὰ κλῶθές τε βαρεῖαι—νήσαντο : τὸ κατά πρὸς τὸ νήσαντο. τὸ δὲ κλῶθες μεταπλασμός ἐστι τοῦ κλωθοί ἀπ' εὐθείας τῆς κλωθώ ὡς Σαπφώ, κλωθοί ὡς Σαπφοί. BHPQT. 200. ἄλλο τι : ἐχρῆν δύο εἶναι τὰς ὀξείας ἐν τῷ ἄλλο τι. P. 204. ξύμβληται : προπαροξύτονον. P. 217. ἕο : δασυντέον τὴν ἕο. πρωτότυπος γάρ ἐστι γενικῆς πτώσεως. P. 221. ληθάνει : τὸ ληθάνει ὡς τὸ «μελάνει δὲ πόντος ὑπ' αὐτῆς» (Η 64). P. 223. ὥς κ ' ἐμέ : ἄμεινον ὀρθοτονεῖν τὴν ἐμέ. HP. 225. δμῶας : διχῶς δμῳάς καὶ δμῶας. P. 239. οὐ δὴ φῄς : ἔνιοι γράφουσι οὐ δὴ φῇς ἀντὶ τοῦ οὐ δὴ ἔφης. HP.

3,2 147 τὸ γὰρ φης, ὅτε σὺν τῷ ι γράφεται, ἐνεστῶτός ἐστι καὶ ὀξύνεται· ὅτε δὲ ἄνευ τοῦ ι , παρατατικός ἐστι ἰακῶς ἐκ τοῦ ἔφης γεγονὼς καὶ περισπᾶται. PQ. 251. ἀπέφθιθεν : ὡς κόσμηθεν. HP. 317. εἰδῇς : Ἀριστοφάνης περισπᾷ τὸ εἰδῇς. P. ΕΙΣ ΤΗΝ Θ. 35. πρωτόπλοον : τὸ πρωτόπλοος προπαροξύνεται, ὁπότερον ἂν σημαίνῃ, εἰς ἀποφυγὴν τῶν οὕτως παραγομένων διπλόος τριπλόος. Q. 88. κεφαλῆς ἀπὸ φᾶρος ἕλεσκεν : οὐκ ἀναστρεπτέον τὴν ἀπό. H. 114. Ἀμφίαλος : τινὲς ψιλοῦσι τὸ Ἀμφίαλος, δύναται μέντοι καὶ δασύνεσθαι. 119. Ἅλιος : προπαροξύνει ἡ συνήθης ἀνάγνωσις Ἡρωδιανοῦ. M. τὸ Ἅλιος προπαροξύνεται ὡς τὸ Ἄνιος Ξένιος Κρόνιος. H. 145. δεῦ ρ ' ἄγε καὶ σὺ ξεῖνε πείρησαι ἀέθλων : ἐνθάδε κατὰ λόγον δοκεῖ ἡ προστακτικὴ ἀνάγνωσις (sc. προπαροξυτόνησις) κεῖσθαι· εἰ γὰρ τὸ ἄγε παρακελευστικὸν ἐπίρρημα, ὅπερ σημεῖόν ἐστι προστακτικῆς ἐγκλίσεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώσεως ἐνεγένετο. Il. Pros. A 302. 161. ὅς θ ' ἅμα νηῒ πολυκληῗδι θαμίζων : γράφεται θαμά. H. 183. πείρων : οὐκ ἔστιν ἀπὸ τοῦ περῶ πλεονασμῷ τοῦ ι . οἶδε γὰρ καὶ τὸ «πεῖρε κέλευθον» (β 242). Q. 188. ἢ οἵῳ Φαίηκες : ἤπερ ᾧ Φαίηκες. διασαφητικὸς ὁ η . BQ. 224. οὔ θ ' Ἡρακλῆϊ : οὐκ ἀναγκαῖον ἐκτείνειν τὸ ι . ἀπήρτισε γὰρ εἰς μέρος λόγου καὶ ἐπέχει τόπον μακρᾶς. Q. 285. χρυσήνιος : δασύνεται τὸ χρυσήνιος. H. 307. ἔργα γελαστά : γελαστὰ οὕτως ὀξυτόνως Ἀρίσταρχος καὶ Ἡρωδιανός. H. 317. ἀλλά σφωε δόλος καὶ δεσμός : ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· «τίς τ' ἄρ σφωε θεῶν» (A 8), «ἀλλά σφωε δόλος καὶ δεσμός». Il. Pr. K 546. 318. ἀποδῷσιν : ἐνταῦθα ἀποδῷ, διὸ καὶ τὸ ι ἔχει προσκείμενον. Il. Pr. A 129. 329.

3,2 148 οὐκ ἀρετᾷ κακὰ ἔργα : ἔστι ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων ὡς ἀπατᾷς. ἀρετάω ἀρετῶ τὸ δεύτερον ἀρετάεις. ἀρετᾷς, τὸ τρίτον ἀρετάει ἀρετᾷ. οἶδε δὲ αὐτὸ καὶ πληθυντικῶς «ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ» (τ 114). EQ. 370. Ἅλιον : προπαροξύτονον. H. 371. μουνάξ : ὀξυτόνως. H. 384. ἑτοῖμα : οὕτως ὁ τόνος, οὐ προπαροξυτόνως. H. 396. Εὐρύαλος δέ ἑ αὐτόν : Ἀρίσταρχος τὴν ἑ ἐγκλίνει καὶ Ἡρωδιανός. H. 491. ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας : γράφεται καὶ ᾗ αὐτὸς ἀντὶ τοῦ καθά. H. 506. τρίχα : βαρυτόνως τὸ τρίχα. H. 531. εἶβεν : ψιλῶς τὸ εἶβεν. H. ΕΙΣ ΤΗΝ Ι. 11. τοῦτό τι μοι κάλλιστον : ἐγκλιτέον τὸ τι. H. 21. Ἰθάκην εὐδείελον : εὐδείελος εἰ μὲν τὴν εὔδηλον ἢ εὐόρατον σημαίνει, ψιλοῦται (sc. εὐδείἐλος), εἰ δὲ τὴν εὖ πρὸς δείλην κειμένην, δασύνεται. ἐτυμολογεῖται γὰρ τὸ δείλη παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεέλη. * 39. ἄνεμος Κικόνεσσι πέλασσεν : οὐ κανονικῶς γράφεται διὰ τοῦ ο οἱ Κίκονες. λέγει γὰρ Ἡρωδιανὸς διὰ τοῦ ω κλίνονται Λάκωνος Κίκωνος. τὸ μέντοι «Κικόνεσσι πέλασσεν» διὰ τὸ μέτρον φησὶ οὕτω κλιθῆναι. Eustath. ad h. l. p. 1615, 12. * 116. νῆσος ἔπειτα λάχεια : τινὲς μὲν τὸ λάχεια ὄνομα τῆς νήσου ὑπώπτευσαν ὡς γνωσθὲν ἐκ Κίρκης Ὀδυσσεῖ, ἕτεροι δὲ λάχειαν τὴν εὔγεων φασὶ καὶ ἐπιτηδείαν λαχαίνεσθαι ἤτοι σκάπτεσθαι. εἰ δὲ γράφεται τετρασυλλάβως ἐλάχεια, εἴη ἂν ὥσπερ λιγύς λίγεια οὕτω καὶ ἐλαχύς ἐλάχεια ἡ ἐλαχίστη. Eustath. ad h. l. p. 1619, 13 coll. Scholio P ad h. l. 135. εἰς ὥρας ἀμῷεν : σημειῶδες τὸ ἀμῶ ῥῆμα. οὐδέποτε γὰρ τὸ α πρὸ τοῦ μ κατὰ τὴν κοινὴν διάλεκτον ἐκτεταμένον ἐστὶν ἐν ἀρχῇ οἷον ἅμα ἀμύσσω ἄμεινον ἅμιλλα ἀμίς ἀμύνω ἄμαθος.

3,2 149 Mon. 43, 4. 184. μῆ λ ’ ὄϊές τε καὶ αἶγες : ὄιες τρισυλλάβως. οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν. Il. Pr. Γ 198. 221. ἔρχατο : ψιλωτέον τὸ ἔρχατο. ἀπὸ γὰρ τοῦ εἶρκτο ἐστὶ κατὰ Ἰωνικὸν ὑπερσυντέλικον παθητικῶς γενόμενον. H. 223. γαυλοί τε : νῦν μὲν ὀξυτόνως τὸ γαυλοί, ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνως. QV. 268. ἥ τε ξείνων θέμις ἐστίν : τὸ η δασυντέον. ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὥς, διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν «ὥς τε γὰρ παῖδες νεαροί» (Il. B 209) οὕτως «ἥ τε ξείνων θέμις ἐστίν». Il. Pr. I 134. 273. νήπιός εἰς , ὦ ξεῖ ν’ , ἢ τήλοθεν εἰλήλουθας : βαρυντέον τὸν η . διαζευκτικὸς γάρ ἐστι. οὐ γὰρ ἐρωτᾷ, ἀλλ’ ἀποφαίνεται ὅτι δι’ ἀφροσύνην ἢ δι’ ἀπειρίαν ὡς ἂν μακρόθεν ἐληλυθὼς τὰ Κυκλώπων ἀγνοεῖ. HT. 280. ἤ που ἐ π ’ ἐσχατιῆς ἦ καὶ σχεδόν : περισπαστέον τὸν δεύτερον ἠ. τινὲς δὲ ὤξυναν. H. 347. ἀνδρόμεα κρέα : δεῖ συστέλλειν τὸ κρέα, ἵνα δάκτυλος γένηται ὡς τὸ «πὺξ ἀγαθὸν Πολυδεύκεα» (Il. Γ 237). Il. Pr. O 187. 353. ἥσατο : δασύνεται τὸ ἥσατο. ἔστι γὰρ ἀπὸ τοῦ ἥδω. Q. 366. Οὖτις ἔμοι γ ’ ὄνομα : προπερισπαστέον νῦν τὸ ὄνομα. ἐπὶ τοῦ «οὔτις με κτείνει» (408) παροξυντέον. ὡς γὰρ δύο μέρη λόγου παραλαμβάνεται. Q. 387. πυριήκεα ὡς τανυήκεα. HQ. ΕΙΣ ΤΗΝ Κ. 39. ὅτεων : διχῶς ὅτεων καὶ ὁτέων. ἐκράτησε δὲ ὅτεων προπαροξυτόνως. Q. 43. τά δ ’ ἔδωκεν : οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ τὰ δέδωκε καὶ τάγ’ ἔδωκεν καὶ τάγε δῶκεν. Ἡρωδιανός. H. 52.

3,2 150 ἦ ἀκέων τλαίην : ὁ δεύτερος η περισπασθήσεται. H. 69. δύναμις γὰρ ἐν ὑμῖν : ὀρθοτονητέον τὸ ὑμῖν. τὸ δὲ ἐν οὐ σημαίνει τὸ ἔνεστι. H. 169. καταλοφάδεια : ὑφ’ ἓν ἀναγνωστέον ὡς τὸ κατωμάδεια καὶ τόνῳ καὶ σημαινομένῳ. BQ. 290. κυκεῶ : κυκεῶνα κατὰ συγκοπήν. V. 362. θυμῆρες : τὸ μὲν θυμῆρες προπερισπωμένως, τὸ δὲ θυμαρές ὀξυτόνως. γράφεται γὰρ ἀμφότερον. P. 379. βρώμης : ὡς ῥώμης· ὅμοιον δὲ αὐτῷ ἐστι καὶ τρώμη. καὶ Ἀρίσταρχος παροξύνει. H. 380. ἦ τινά που δόλον ἄλλον ὀΐεαι : περισπαστέον τὸ η . διαπορητικὸν γάρ ἐστι. H. 417. ἵνα τε τράφεν ἠδὲ γένοντο : ΕΙΣ ΤΗΝ Λ. 7. ἴκμενον οὖρον : ψιλωτέον τὸ ἴκμενον. H. 74. κακκεῖαι : προπερισπωμένως. ἀπαρέμφατον γάρ ἐστιν. HQ. 120. ἠὲ δόλῳ ἢ ἀμφαδό ν· οὐ διστάζει, ἀλλ’ ὁ ἤ ἀντὶ τοῦ καί. H. 128. ἀθηρηλοιγόν : ὀξυτόνως. Q. 134. θάνατος δέ τοι ἔξαλος αὐτῷ : τὸ ἔξαλος ὡς ἔκβιος οἷον ἠπειρωτικὸς καὶ οὐ θαλάσσιος. ἔνιοι δὲ κατὰ παράθεσιν ἐξ ἁλός οἷον ἀπὸ θαλάσσης ὡς τὸ «ἐπισσεύῃ μέγα δαίμων ἐξ ἁλός» (ε 421) καί φασιν ὡς τὸ δόρυ, ὃ ἐντεύξει τῆς Κίρκης Ἥφαιστος κατεσκεύασε Τηλεγόνῳ ἐκ τρυγόνος θαλασσίας, ἣν Φόρκυς ἀνεῖλεν ἐσθίουσαν τοὺς ἐν τῇ Φορκίδι λίμνῃ ἰχθῦς, οὗ τὴν μὲν ἐπιδορατίδα ἀδαμαντίνην, τὸν δὲ στύρακα χρυσοῦν εἶναι, τὸν Ὀδυσσέα ἀνεῖλεν. ἀλλ’ εἴγε καὶ ἐν παραθέσει εἴη ἡ ἐξ, δύναται τὸ ἔξω δηλοῦν ὡς τὸ «ἔκ τ’ ἀνδροκτασίης» (Λ 164). ὁ μέντοι Ἀσκαλωνίτης τὸ πλῆρες ἔξω ἡγεῖται, ἵν’ ᾖ ἔκθλιψις τοῦ ω ὡς ἐν τῷ «βαθέης ἐξάλλεται αὐλῆς» (E 142).

3,2 151 οὐκ ἀναγκαῖον δὲ τῆς ἐξ ἤδη τὸ ἔξω σημαινούσης. HQ. 148. ὁ δέ τοι νημερτὲς ἐνίψει : ὁ δέ ἄμεινον δύο μέρη λόγου ποιεῖν. Il. Pr. A 239. 160. ἦ νῦν δὴ Τροίηθεν : τινὲς ὡς ἓν μέρος λόγου παροξύνουσιν ἀντὶ τοῦ ἀρτίως ὁμοίως τῷ «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος» (ω 260). HQ. 172. ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα : ἐν τοιαύταις συντάξεσι ὁ μὲν πρότερος ἤ ἐγκλίνεται, ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεύτερος περισπᾶται. Il. Pr. Υ 17. 221. δαμνᾷ , ἐπεί κεν πρῶτα λίπῃ : δαμνᾷ ὡς κιρνᾷ. οἱ δὲ «δάμναται ὥς κεν πρῶτα λίπῃ» ὡς Κράτης. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει δάμνα, ἵν' ᾖ τοῦ δάμναται ἀποκοπή. ἔξεστιν δὲ ἀναγινώσκειν περισπωμένως ἀπὸ τοῦ δαμνῶμαι ὡς πειρῶμαι «πειρᾷ ἐμεῖο γεραιέ» (Ω 390) μὴ ἐκφωνουμένου τοῦ ι ὡς τὸ δύνᾳ παρ' Ἀττικοῖς. Η. 233. ἠδέ : τὸ ἠδέ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. Η. 274. ἀνάπυστα : προπαροξυτόνως φησὶν (sc. Ἡρωδιανὸς) ἐν τῇ καθόλου περιττῆς οὔσης τῆς ἀνά ἀντὶ τοῦ πυστά ἐξακουστά. BQ. 285. ἡ δὲ Πύλου βασίλευε : τὸ «ἠδὲ Πύλου» σύνδεσμον ἐπὶ Νηλέως ἀκουστέον ὃς Ὀρχομενοῦ καὶ Πύλου ἐβασίλευσεν. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἡρωδιανὸς (sc. ἡ δὲ scribens) ἐπὶ Χλωρίδος φησὶν ἀντιδιαστέλλων τῷ πατρὶ καὶ ἐπὶ θηλειῶν δὲ τάσσει τὸ βασιλεύει «μητέρα δ' ἣ βασίλευεν» (Ζ 425). Η. * 286. Χρομίος : ὁ Χρομίος παροξύνεται ὁμοίως τῷ Δολίος Τυχίος καὶ τοῖς τοιούτοις ὡς τρίβραχυ. Eustath. ad h. l. 1685, 61. 299. ἥ ῥ' ὑπὸ Τυνδαρέῳ : παροξυτόνως τὸ Τυνδαρέῳ ἀκολούθως τῷ «οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο» (ω 199). HQ. 320. γένυς : πληθυντικῶς αἰτιατικῆς ὡς τὸ «ἐκ δὲ νέκυς οἴκων φόρεον» (ω 417). Η. 367.

3,2 152 σοὶ δ ' ἔπι μὲν μορφὴ ἐπέων , ἔνι δὲ φρένες ἐσθλαί : ἀναστρεπτέον τὴν ἔπι καὶ τὴν ἔνι. Η. 392. πιτνάς : ὀξυτόνως τὸ πιτνάς. Η. 403. ἠὲ περὶ πτόλιος μαχεούμενον : ἐνταῦθα διαζευκτικῶς νοεῖται. παράλογος ἡ διαίρεσις. θέλει γὰρ εἰπεῖν μαχόμενον. ἐπέκτασις οὖν γέγονε διὰ τὸ μέτρον. Η. 410. ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ : κατὰ συστολὴν ἀναγνωστέον. ἔστι δὲ ἀποκοπὴ τοῦ ἔκτανε. Il. Pr. Β 662. 459. ἤ που ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ : ὀξυτονητέον τοὺς συνδέσμους. διαζευκτικοὶ γάρ εἰσιν. Η. 502. τῷ κέ τεῳ : ὁ Ἀρίσταρχος καὶ ἐγκλίνει τὸ τέῳ. Η. 510. πόλιν Τροΐην : τρισυλλάβως τὸ Τροΐην, ὡς καὶ Ἀρίσταρχός φησι. Vind. 133. 519. ἀλ λ ' οἷον : θαυμαστικῶς οἷον. Q. 521. κήτειοι : προπαροξυτόνως. καὶ τοὺς μεγάλους ἀκουστέον παρὰ τὸ κῆτος, ὡς καὶ Ἀρίσταρχος. BHQ. 539. κα τ ' ἀσφοδελὸν λειμῶνα : ὀξυτόνως. ἄδηλον δὲ πότερον σφοδελόν ἢ ἀσφοδελόν. λέγεται γὰρ καὶ χωρὶς τοῦ α . τινὲς δὲ γράφουσι σποδελόν διὰ τὴν σποδὸν τῶν καιομένων νεκρῶν. ἄμεινον δὲ ἀσφοδελόν διὰ τὸ Περσεφόνης εἶναι λειμῶνα τὸν τόπον. εἶπε δὲ ἀσφοδελὸν τὸν τόπον τὸν ἔχοντα ἀσφόδελον, ἥτις ἐστὶ βοτάνη ὁμοία σκίλλῃ. BHQ. 540. γηθοσύνῃ , ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι : χωρὶς τοῦ ι γηθοσύνη ἀντὶ τοῦ χαίρουσα (Η) Ἀρίσταρχος· εἰσὶ μέντοι οἳ ἀναγινώσκουσι γηθοσύνῃ καὶ δοτικὴν πτῶσιν ἐκδέχονται, οἷς συγκατατίθεμαι. Il. Pr. Ν 29. 565. ἔνθα χ ' ὁμῶς : περισπαστέον. ἐπίρρημα γάρ. τῷ συνδέσμῳ οὐ χρῆται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ἔμπης. διὸ καὶ τὸ «ὅμως δ' οὐ λήθετο χάρμης» (Μ 393) οἱ πλείους περισπῶσιν. Q. 580. Ληθὼ γὰρ δ ' ἥλκησε —581 Πυθὼ δ ' ἐρχομένην : Πάμφιλος περισπᾷ, Ἀρίσταρχος δὲ ἀνέγνωκε κατ' ὀξεῖαν τάσιν. Il. Pr. Β 262. 588.

3,2 153 κατὰ κρῆθεν : δισυλλάβως καὶ προπερισπωμένως τὸ κατὰ κρῆθεν. Η. 597. τό τ ' ἀπεστρέψασκε κραταιΐς : ὁ μὲν Ἀρίσταρχος καὶ Ἡρωδιανὸς ὀξυτόνως κατὰ συστολὴν ὡς λικριφίς, ἀμφουδίς ἐπιρρηματικῶς. ὁ δὲ Ἀσκαλωνίτης τὸ πλῆρες κραταιὰ ἴς οἷον ἰσχυρὰ δύναμις. ᾧ ἐπείσθη καὶ ἡ συνήθεια. BHQ. ΕΙΣ ΤΗΝ Μ. 22. δὶς θανέες : οὕτως ἐν δυσὶ μέρεσι λόγου. φησὶ γὰρ Ἀπολλώνιος ὡς ὅτι δίς καὶ τρίς ἐν συνθέσει ἐκβάλλει τὸ ς δίπους τρίπους. Q. 33. ἡ δ' ἐμέ : ἀντιδιασταλτικὴ ἡ ἐμέ. Η. 40. ὅτί σφεας : ὅτε ἡ διὰ τοῦ σφ ἀντωνυμία ἐπιφέρεται, ἐγείρει τὴν πρὸ αὐτῆς ὀξεῖαν καὶ ἐπὶ σπονδείου καὶ ἐπὶ πυρριχίου καὶ ἐπὶ ἰάμβου. διὸ ἐπιστατέον τῷ «οὐ γάρ τ' οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις» (Il. Ζ 367). Η. 47. ἀλεῖψαι : περισπωμένως, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἄλειψον. Η. 70. πασιμέλουσα : ὑφ' ἓν πασιμέλουσα. HQ. 79. περιξέστη : κρεῖττον βαρυτόνως γράφειν περιξέστη ὁμοίως τῷ ἀσβέστη. τὸ γὰρ περισπᾶν ἔχει καί τι ἀντιλογίας. Eustath. ad h. l. 1714, 5. 89. τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι : ψιλωτέον τὰς δύο συλλαβάς· ἔστι γὰρ δυσφύλακτοι, οὓς οὐκ ἄν τις δυνηθείη φυλάξασθαι· ὠρεῖν γὰρ τὸ φυλάσσειν. ἔνιοι δὲ δασέως ἀνέγνωσαν ἄῶροι ὠμοὶ ἄγριοι ἐκ μεταφορᾶς τῶν ἀώρων καὶ μὴ πεπείρων καρπῶν. Ἀρίσταρχος δὲ ἀκώλους· τοὺς γὰρ Ἴωνας λέγειν φησὶ τὴν κωλῆν ὥρην καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡραίαν. οὐκ ἔχοντας οὖν ὀστᾶ ἀκώλους καὶ ἀνάρθρους λέγεσθαι. ἔνιοι δὲ ἀώρους τοὺς ἐμπροσθίους ὡς καὶ παρὰ τῷ κωμικῷ (sc. Φιλήμονι) «οὐ τοὺς ἀώρους εἶπά σοι, μαστιγία, πόδας κομίζειν; σὺ δὲ φέρεις ὀπισθίους». ἄμεινον δὲ ἀποδιδόναι τοὺς δυσφυλάκτους. HQV. 98. πώποτε : ὑφ’ ἓν τὸ πώποτε. H. 104. τῷ δ ’ ὑπὸ δῖα Χάρυβδις ἀναρροιβδεῖ : οὐκ ἀναστρεπτέον τὴν ὑπό πρόθεσιν. H. τὸ δὲ ἀναρροιβδεῖ περισπωμένως. τινὲς δὲ τὴν λέξιν περὶ τὸ ἀναρριπτεῖ ἔταξαν. H. 116.

3,2 154 καὶ δ ’ αὖ τοι : ὁ μὲν αὖ σύνδεσμος, ἡ δὲ τοι ἀντωνυμία. BQ. 124. βωστρεῖν δὲ Κράταιιν μητέρα τῆς Σκύλλης : ἄμεινον γράφειν κραταιΐς ἀντὶ τοῦ ἰσχυρῶς ὡς ἀλλαχοῦ «τότ’ ἀποστρέψασκε κραταιΐς» (λ 579), ἵνα λέγῃ, κραταιῶς ἐπιβοῶ τὴν μητέρα τῆς Σκύλλης καὶ ὀξύνεται. ἐὰν δὲ ᾖ κύριον, προπαροξύνεται. BHQ. 168. ἡ δὲ : δασέως τὸ ἡ δέ. H. 205. προήκεα : ὡς τανυήκεα. BHQ. 209. οὐ μὴν δὴ τόδε μεῖζον ἔπει κακόν : ῥῆμά ἐστι ἔπω ἔπεις ἔπει ἀντὶ τοῦ περιέπει. δασέως οὖν. H. Vind. 133. ? 246. ἓξ ἕλε θ’ : τὸ ἕξ δασυντέον. ἀριθμητικὸν γάρ ἐστιν. H. 256. κεκληγῶτας : ἐὰν διὰ τοῦ ω , προπερισπᾶται, ἐὰν δὲ διὰ τοῦ ντ , ὡς λέγοντας. H. 283. λαρὸν τετυκοίμεθα δόρπον : λαρός ὀξυνόμενον ἔχει ἐκτεινόμενον τὸ α . Mon. 35, 13. 284. ἀλάλησθαι : ὁ Ἀσκαλωνίτης περισπᾷ, ἵν’ ᾖ παρακειμένου χρόνου ἀπὸ τοῦ ἀλῶ ὡς πεποιῆσθαι. δύναται προπαροξύνεσθαι ὡς Αἰολικόν, ἵν’ ᾖ ἀλάλησθαι ἐνεστῶτος χρόνου. τὸ θέμα ἄλημι ὡς τίθημι ἄλεμαι ὡς τίθεμαι καὶ διπλασιασμὸς μετ’ ἐπεκτάσεως Αἰολικῆς ἀλάλημαι ἀλάλησαι ἀλάληται. HQ. 313. ὦρσεν ἔπι ζαῆν ἄνεμον : οὕτως χωρὶς τοῦ δέ Ἀρίσταρχος γράφει, καὶ ἀναστρεπτέον τὴν πρόθεσιν. ἐὰν δὲ μετὰ τοῦ δέ, οὐκ ἀναστρέφεται. H. ἔδει χωρὶς τοῦ ν ζαῆ ὡς «ἀκραῆ Ζέφυρον» (β 421). ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι ὡς τὸ «αἰνοπάθην πατρίδ’ ἐπόψομαι» παρὰ Ἀνακρέοντι. ὁ δὲ Ἀρίσταρχός φησι περισπᾶσθαι καὶ οὕτως ἔχει ἡ παράδοσις. H. ΕΙΣ ΤΗΝ Ν.

3,2 155 (1t) 14. ἀνδρακάς : ὡς ἑκάς καὶ ἐντυπάς. H. 31. πανῆμαρ : ὁ Ἀριστοφάνης οὐκ ἐν συνθέσει φησὶ τὸ πανῆμαρ, ἀλλὰ πάν, εἶτα κατ’ ἰδίαν τὸ ἦμαρ. H. 98. ἀκταὶ ἀπορρῶγες : προπερισπαστέον τὸ ἀπορρῶγες. BQ. 110. καταιβαταί : ὀξυτόνως τὸ καταιβαταί. H. 138. λαχὼν ἀπὸ ληΐδος αἶσαν : οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. πρὸς γὰρ τὸ ἑξῆς ἐστιν ἢ παρέλκει. H. 177. μέγα δ ’ ἧμιν ὄρος πόλι ἀμφικαλύψειν : βαρυντέον τὴν ἥμιν. H. 183. μη δ ’ ἥμιν περίμηκες ὄρος πόλι ἀμφικαλύψῃ : ἀπόλυτος ἡ ἡμῖν. H. 196. πέτραι τ ’ ἠλίβατοι : τινὲς (inter eos Herodianus cf. Il. Pr. O 619) παρὰ τὸ ἀλιτεῖν τοὺς ἐπιβαίνοντας. BQ. 213. Ζεύς σφεας τίσαιτο : ἀπόλυτος ἡ σφεας. H. 228. ἐπεί σε πρῶτα κιχάνω : ὀρθοτονητέον τὴν σέ, ὡς καὶ Ἡρωδιανός. H. 234. ἦ που τις νήσων εὐδείελος ἦέ τις ἀκτή : ἐνθάδε ὁ ἠ ἐρωτηματικός, διὸ περισπασθήσεται· ἐπὶ δὲ τοῦ Κύκλωπος ἀποφαντικός, διὸ ὀξύνεται. H. 247. ἀρδμοί : ἀρδμός, ἐκτατέον τὸ α . ὁμοίως καὶ τὸ ἄρδω ὁ Ἀριστοφάνης. H. 258. χρήμασι σὺν τοίσδεσσι : προπαροξυτονητέον τὸ τοίσδεσσι. H. 269. νὺξ δὲ μάλα στυγερὴ κάτε χ ’ οὐρανόν : προπαροξύνειν δεῖ τὸ κάτεχε. Il. Pr. Γ 426. 276. ἄλ λ ’ ἤτοί σφεας : ἐγκλιτικὴ ἡ σφεας. διὸ τὴν τοι συλλαβὴν ἐγερτέον. H. 293. ποικιλομῆτα : προπερισπαστέον τὸ ποικιλομῆτα ὁμοίως τῷ δολομῆτα (Α 50). Il. Pr. h. l. 332.

3,2 156 οὕνε κ ’ ἐπητής ἐσσι : τῇ προσῳδίᾳ ὡς ἀεικής, φησὶν Ἀρίσταρχος. οὕτω δὲ καὶ Ἡρωδιανός. H. 357. ὔμ μ’ : ὑμᾶς Αἰολικῶς. H. 405. ὅς τοι ὑῶν ἐπίουρος : ἐπίσκοπος. δύναται ἡ πρόθεσις εἶναι καὶ ἐν πλεονασμῷ, ἵν’ ᾖ ἐφορῶν καὶ ἐπιβλέπων· ἢ παρέλκει ὡς τὸ βοῶν ἐπιβουκόλος. Q. ὁμῶς δέ τοι ἤπια οἶδεν : τῷ ἐπιθετικῷ ὁμὸς παράκειται τὸ ἐπίρρημα εἰς ως λῆγον περισπώμενον ὡς θερμῶς. Il. Pr. O 209. ΕΙΣ ΤΗΝ Ξ. 30. οἱ μὲν κεκλήγοντες : κεκληγῶτες καὶ κεκλήγοντες διχῶς αἱ Ἀριστάρχου. εἰ μὲν διὰ τοῦ ω , περισπᾶται, εἰ δὲ διὰ τοῦ ντ , προπαροξύνεται. HQ. 33. μετασπών : ὀξυτονητέον. ἔστι γὰρ δεύτερος ἀόριστος καὶ μετασπόντος ἡ γενική. H. 38. καί κέν μοι : ἀπόλυτος ἡ μοι. B. 65. θεὸς δ ’ ἔπι ἔργον ἀέξῃ : ἀναστρεπτέον τὴν ἐπί. H. 73. ἔθνεα ἔρχατο : ψιλωτέον τὸ ἔθνεα καὶ τὸ ἔρχατο. H. 99. ἔσ τ ’ ἄφενος : ὅτε ἐστὶν ἐν ἀρχῇ στίχου, παροξύνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

H. 103. ἐνθάδε τε : διχῶς ἐνθάδε καὶ ἔνθα δέ. H. 113. ἐνίπλειον : προπαροξυτόνως. H. 161. τοῦ δ ' αὖ τοῦ λυκάβαντος : τοῦδ' αὖ τοῦ τρεῖς τόνοι. οὐ δύναται γὰρ εἶναι ἡ αὐτοῦ ἀντωνυμία. τὸ γὰρ αὑτοῦ οὐ λέγει Ὅμηρος εἰ μὴ ἐπὶ εἰρημένοις τισὶν ἀναφορικῶς. HQ. 185. ἐνίσπες : σπές ἐνίσπες ὡς θές ἐπίθες, σχές ἐπίσχες. ἔνισπε δὲ ἀπὸ τοῦ ἐνίσπω ὡς ἔλαυνε ἀπὸ τοῦ ἐλαύνω. HQ. 222. τοῖος ἔα ἐν πολέμῳ : τὸ ἔα Ἰωνικόν ἐστιν ἐκ τοῦ ἦν γεγονός. διὸ συσταλτέον τὸ α . λέγεται καὶ διὰ τοῦ η «οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος» (213). Il. Pr. Ε 887. 260. ἔρυσθαι : ἐνεστῶτός ἐστιν ὡς πήγνυσθαι, παρακειμένου δὲ εἰρύσθαι. Q. 272.

3,2 157 τοὺς δ ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι : ἡ σφίσιν ὀρθοτονεῖται εἰς σύνθετον μεταλαμβανομένη. ἔστι δὲ καὶ ὅτε εἰς ἁπλῆν μεταλαμβανομένη ὀρθοτονεῖται «τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι». οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖς ἐργάζεσθαι, ἀλλ' αὐτοῖς τοῖς ἄγουσιν. Il. Pr. Δ 2. 290. παρπεπιθών : ὀξυτόνως ἡ μετοχή, δευτέρου γὰρ ἀορίστου. BQ. 328. ἐπακούσαι : παροξυτόνως τὸ ἐπακούσαι. H. 332. κατειρύσθαι : παρακειμένου ἐστί. διὸ παροξύνεται. H. 400. ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπευτής : συστολὴ ἐγένετο ἢ μεταβολὴ ἐγκλίσεως ὁμοίως τῷ «ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων» (Il. Ι 409). Il. Pr. Λ 192. 411. ἔρξαν : ψιλωτέον τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλεισαν, τὸ γὰρ δασυνόμενον ἀντὶ τοῦ ἔθυσαν. ἐτυμολογεῖται δὲ τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλεισαν ἀπὸ τοῦ εἴργω τὸ κωλύω, τὸ δὲ ἕρξαν ἀντὶ τοῦ ἔθυσαν ἀπὸ τοῦ ἕρδω τὸ θύω. BQ. 432. βάλλον δ ' εἰν ἑλεοῖσιν : δασύνεται τὸ ἑλεοῖσιν. H. ? 476. πηγυλίς : ὀξυτόνως τὸ πηγυλίς ἀντὶ τοῦ παγετώδης. BQ. 533. Βορέω ὑπιωγῇ : σύνθετόν ἐστι τὸ ὄνομα ἀντὶ τοῦ σκέποντι καὶ ἀπείργοντι τὸν βορρᾶν τόπῳ. B. ΕΙΣ ΤΗΝ Ο. 10. δόμων ἄπο τῆ λ ' ἀλάλησαι : τὸ ἀπὸ ἀναστρεπτέον. τὸ δὲ ἀλάλησαι προπαροξυτόνως, ὅτι ἀπὸ τοῦ παρακειμένου ἀλάλημαι, ἢ ὅτι ἀπὸ τοῦ ἀλάλημι. H. 19. μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται : ὀρθοτονητέον τὴν σεῦ καὶ τὴν ἐκ τῷ δόμων συναπτέον. H. 27. ἄλλο δέ τοι τι ἔπος ἐρέω : οὐ δύναται τὸ τοι ὀξύνεσθαι. ἴαμβος γάρ ἐστι τὸ δέ τοι . H. ? 58. Ἑλένης πάρα καλλικόμοιο : ἀναστρεπτέον τὴν παρά. H. 105. ἔν θ ' ἔσάν οἱ πέπλοι : τρεῖς ὀξεῖαι. καὶ εἴπομεν ἐν τῇ Ἰλιάδι (Β 255) τὸ αἴτιον. H. 168. ἢ— ἦε : τὸ δεύτερον περισπαστέον ὡς ἐρωτηματικόν. H. 242. Μάντιον : ὡς Φήμιον. H. 260.

3,2 158 ἐπεί σε θύοντα κιχάνω : ἀπολύτως ἡ σέ. H. 277. ἐπεί σε φυγὼν ἱκέτευσ α; τὴν σε ἀντωνυμίαν ἐγκλιτικῶς ἀναγνωστέον. Il. Pr. Ζ 355. 285. πὰρ δέ οἷ αὐτῷ : ἀεὶ ἡ οἱ προτασσομένη τῆς ἐπιταγματικῆς ὀρθοτονεῖται, σεσημειωμένου τοῦ «ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην» (δ 667). H. 297. Φεράς : τὰς Φηρὰς εἶπε διὰ τὸ μέτρον Φεράς. H. Vind. 133. 309. ἵνα μή σε κατατρύχω : ἀπολύτως ἡ σε. H. 312. πύρνον : τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ, ὁ δὲ τόνος ὡς τόρνος. BHQ. 317. μετὰ σφίσιν : τὴν σφίσιν ὀρθοτονητέον καίπερ ἀπόλυτον οὖσαν. Q. ὅτ τ ' ἐθέλοιεν : τρισυλλάβως τὸ ἐθέλω. H. 324. οἷά τε τοῖς ἀγαθοῖσι πάρα δρώωσι χέρειες : ἀναστρεπτέον τὴν παρά. H. 333. ὅ σφιν ὑποδρώωσιν : ἐχρῆν ἀναστρέφεσθαι τὴν ὑπό, ἵνα ᾖ ὑπό σφισιν. Q. τινὲς δέ φασι παρέλκειν τὴν πρόθεσιν. Il. Pr. Δ 423. 370. ἀγρὸν δὲ προΐαλλε : τὸ ἀγρὸν δὲ δύο μέρη λόγου τὴν ἰδίαν ἕκαστον ἔχον προσῳδίαν. Io. Al. 34, 4. 409. πόλιν κάτα : ἀναστρεπτέον τὴν κατά. H. 410. ἐλθὼν δ ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν : τὰς μονοσυλλάβους προθέσεις, ἐὰν ἐπὶ τέλει ὦσι στίχου, ἀναστρέφουσιν οἷον «ἐλθὼν—Ἀρτέμιδι ξύν». ῥώννυται γὰρ ὁ τόνος τῆς ξύν προθέσεως, ἵνα νόηται ἡ ἀναστροφή. Io. Al. 27, 34. 426. ῥυδόν : ὀξυτόνως τὸ ῥυδόν. H. 451. ἁματροχόωντα : γράφεται καὶ ἅμα τροχόωντα. V. 452. ὁ δ' ὔμιν μυρίον ὦνον : ἀπόλυτος ἡ ὑμῖν. H. 466. ἠμὲν δέπα ἠδὲ τραπέζας : ἐκτατέον τὸ δέπα. H. 473. ὠκύαλος : ὠκεῖα. παραγώγως. V. διὸ ψιλοῦται. Il. Pr. Ο 705. 488. ἀλ λ ' ἤτοι σοὶ μὲν παρὰ : οὐκ ἀναστρεπτέον. H. 539. Πείραιον : προπαροξυτόνως. οὕτως Ἀρίσταρχος. H. 546. τόνδε δ ' ἐγὼ κομιῶ : ἀναγνωστέον τὸ τόνδε ὀξύνοντα τὴν πρώτην, ἵν' ᾖ ἐπέκτασις ἡ διὰ τοῦ δε . Il. Pr. Ω 17. κομιῶ : ἡ τοιαύτη ὕφεσις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ς Ἀττική ἐστι καὶ περισπᾷ τοὺς μέλλοντας διά τι αἴτιον, εἰ παραλήγοιτο τῷ ι συνεσταλμένως ὅπερ καὶ ἐπὶ τοῦ «τόνδε δ’ ἐγὼ κομιῶ». Il. Pr. Λ 454. ΕΙΣ ΤΗΝ Π.

3,2 159 (1t) 19. τῷ ἐ π ’ ἄλγεα πολλὰ μογήσῃ : οὐκ ἀναστρεπτέον τὴν ἐπί πρόθεσιν. Η. 28. εὔαδε : ἔστιν ἧδον ἧδες ἧδε κατὰ διάλυσιν ἔαδε καὶ πλεονασμῷ τοῦ υ εὔαδε. Ms. Barn. διὸ ψιλοῦται Eustath. ad h. l. ἡ δὲ συνήθης ἀνάγνωσις δασύνει τὸ α , ψιλοῖ δὲ τὴν ευ δίφθογγον (Il. Pr. Ξ 340) ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ ἁδῶ τὸ ἀρέσκω. BQ. 45. πάρα δ ’ ἀνὴρ ὃς καταθήσει : τὸ παρά ἀντὶ τοῦ πάρεστι. διὸ καὶ τὴν πρώτην ὀξυτονητέον. Il. Pr. Ψ 479. 47. χεῦεν ὕπο : ἀναστρεπτέον τὴν ὑπό. Η. 72. ὅ τε τις πρότερος χαλεπήνῃ : δύο μέρη λόγου τὸ ὅ τε· σημαίνει δὲ ὅς τε, ἵν’ ᾖ, τὸν ἄνδρα ὃς ἂν πρῶτος ᾖ χαλεπώτερος. Η. 79. ἔσσωμι : τηρητέον τοῦ ἔσσω τὸν τόνον. πλεονάζει γὰρ τὸ μι ὡς κτείνωμι, ἀγάγωμι, τύχωμι. Η. 91. ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστίν : τὴν τελευταίαν τοῦ ἐπεί ὀξυτονητέον, διὰ τὴν μοι ἐγκλιτικὴν οὖσαν. Η. 93. οἷά φατε : ὀξυτόνως τὸ φατέ. Η. ? 95. ἠὲ ἑκὼν ὑποδάμνασαι ἦ σέ γε λαοί : ὁ δεύτερος ἦ περισπᾶται. Η. 128. τάχα δή με διαρραίσουσι καὶ αὐτόν : ἐχρῆν ὀρθοτονεῖσθαι τὴν με. Η. 171. ἀπὸ σφῶϊν : ὀρθοτονητέον τὴν σφῶϊν. Η. 175. μελαγχροιής : ὀξυτόνως. τοῦτο δὲ κατὰ συγκοπὴν Ἀττικοὶ μελαγχρής φασιν ὡς Εὔπολις. HQ. καὶ τὸ οὐδέτερον Μένανδρος εἴρηκε «μελαγχρὲς μειράκιον». Η. 234. φόνου πέρι βουλεύσωμεν : ἀναστρεπτέον τὴν περί. Η. 255. πολύπικρα : σύνθετον τὸ πολύπικρα καὶ ἔστιν ἀντὶ τοῦ πολυπίκρως. Η. 305. καί κέ τεο δμώων : τὸ τεο ἀόριστον. διὸ καὶ ἐπὶ τοῦ κέ ὁ τόνος. ὁ δὲ Ἀσκαλωνίτης ἐτεοδμώων τῶν ἀγαθῶν θεραπόντων. τινὲς δὲ οὕτως ἐτεοδμώων τῶν ὄντων ἡμετέρων δμώων. HQ. 316.

3,2 160 ἀλ λ ’ ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα : τὸ δεύτερον α (sc. τοῦ δεδάασθαι) συστέλλεται καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. Il. Pr. Ζ 268. 347. φάμεν : παροξυτόνως, ἵν’ ᾖ παρατατικός. Β. 418. καὶ δέ σέ φασιν : ἄμεινόν ἐστιν ὀρθοτονεῖν τὴν σέ. Η. 421. μάργε : βαρυτονητέον τὸ μάργε, ἔδει δὲ ὀξύνεσθαι. Η. 427. οἱ δ ’ ἥμιν ἄρθμιοι ἦσαν : πολλοὶ ὀρθοτονοῦσι τὴν ἥμιν, κακῶς. Η. 466. ἄστυ κάτα βλώσκοντα : ἀναστρεπτέον τὴν κατά. Η. 471. Ἕρμαιος λόφος : τὸ «ὅθι θ’ Ἕρμαιος λόφος ἐστίν» ὡς εἰς ἰδιότητα καὶ ἐπὶ τοῦ κυρίου. πρὸς ἀντιδιαστολὴν διάφορον τόνον ἀνεδέξατο ὡς Ἀθηναῖος καὶ Ἀθήναιος, ἀγοραῖος καὶ ἀγόραιος. Il. Pr. Ν 791. ΕΙΣ ΤΗΝ Ρ. 51. ἄντιτα : ἀνάτιτα. ἔστι δὲ συγκοπή. Q. 81. αὐτὸν ἔχοντά σε : ἐχρῆν ὀρθοτονεῖν τὴν σέ. Η. 170. ἀλ λ ’ ὅτε δὴ δείπνητος ἔην : ὀξυτόνως μὲν τὸ δεῖπνον, βαρυτόνως δὲ ὁ καιρὸς τοῦ δείπνου. BHQ. 199. σκῆπτρον θυμαρές : τῇ ψυχῇ ἀρέσκον. σύνθετον δέ ἐστι παρὰ τὸ ἄρω θυμαρές καὶ οὕτως ἀνέγνωμεν διὰ τοῦ α ὀξυτόνως. οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης , τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης παρώνυμα βαρύνεται. Il. Pr. Ι 336. 218. ὣς ἀεὶ τὸν ὅμοιον ἄγει θεὸς ὣς τὸν ὅμοιον : τὸ ὥς ὀξύνεται κἂν ἐν ἀρχῇ κἂν ἐν μέσῳ κἂν ἐν τέλει ᾖ πλὴν μόνον ὅτε σημαίνει τὸ ὅμως. ὀξύνεται μὲν ἐν ἀρχῇ οὕτως «ὣς δὲ λέων ἐχάρη» (Γ 23) καὶ ἐν μέσῳ (h. l.) καὶ ἐν τέλει «ὄρνιθες ὥς» (Γ 2). Io. Al. 31, 21. 225. καί κεν ὀρὸν πίνων : ὀρός ψιλῶς καὶ ὀξέως. Η. 228. γαστέ ρ ’ ἄναλτον : ὁ Ἡρωδιανὸς τὴν γαστέρα ἀναύξητον ἄναλδόν τινα οὖσαν τὴν ἀεὶ ξηρὰν καὶ ταπεινήν. BQ. Vind. 133. 231. ἀμφὶ κάρη σφέλα : ὁ μὲν Ἀσκαλωνίτης ἀμφικαρῆ σφέλα τὰ μικρὰ ὑποπόδια διὰ τὰς βάσεις· ὁ δὲ Ἡρωδιανὸς ἀμφὶ κάρη ὡς εἰ ἔλεγε πεμπόμενα ἐπὶ τὸ κάρη καὶ κατερχόμενα εἰς τὰς πλευρὰς συντρίψουσι αἱ πλευραί.

3,2 161 BHQ. 237. ἢ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας : τὸ η τὸ δεύτερον περισπαστέον. τὸ δὲ ἀμφουδίς ὀξύνεται ὡς λικριφίς. Η. 246. ἄστυ κά τ’ : εἰ καὶ συναλοιφή, ὅμως δύναται ἀναστρέφεσθαι διὰ τὴν ἀνάπαυσιν. Η. 317. περιῄδη : περισσῶς ᾔδη. Β. 330. νεῦ ς ’ ἐπὶ οἷ καλέσας : ἔστι καὶ ἐγκλιτικὴν εὑρέσθαι τὴν οἷ ἀντὶ γενικῆς κειμένην ἐπὶ τοῦ «οἱ δ’ οἱ ἐβλάφθησαν» (Il. Ψ 387)· ἔστι δὲ καὶ ὀρθοτονουμένην ἀντὶ αἰτιατικῆς ὥσπερ ἐπὶ τοῦ «νεῦς’ ἐπὶ οἷ καλέσας». Il. Pr. Τ 384. 343. οὖλον : ὅλον κατὰ ἐπένθεσιν τοῦ υ V. τὸ δὲ ἐπεντιθέμενον υ ψιλοῖ τὰ δασυνόμενα φωνήεντα, ὅρος οὖρος, ὅλος οὖλος. Il. Pr. Α 554. 352. ἀνδρὶ προΐκτῃ :

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἴκτης ψιλωτέον, παρὰ γὰρ τὸ παραβάλλειν τὴν χεῖρα καὶ αἰτεῖν δωρεάν. ἢ ὁ πρὸ τοῦ αἰτεῖν ἱκετεύων, εἰ δασύνεται. Q. 365. ἐνδέξια : διχῶς ἐνδέξια καὶ ἐν δεξιά. H. 379. καί ποθι : ἐγκλιτικὸν τὸ ποθι. H. 398. δίεσθαι : προπαροξυτόνως ἀπὸ τοῦ δίημι. οἶδε δὲ τὸ δίω καὶ διῶ καὶ δίημι. H. 441. τοὺς δ ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ : εἰ καὶ μὴ εἰς σύνθετον ἡ μετάληψις, ὅμως ἡ πρώτη τοῦ σφίσιν ὀρθοτονεῖται. Il. Pr. A 368. 455. οὐ δ ' ἅλα : οὕτως Ἀρίσταρχος ἀνέγνωκε καὶ ἀπέδωκε τοὺς ἅλας. ὁ δὲ Καλλίστρατος οὔδαλα τὰ κόπρια παρὰ τὸ ἐν τῷ οὐδῷ κεῖσθαι. οὐδὸς δὲ ὁ βατήρ. BHMQ. 530. ἑψιαάσθων : παιζέτωσαν. ἀπὸ τοῦ ἕπω ἕψω ἑψιάω. BQ. διὸ δασυντέον. Eustath. ad h. l. 1831, 1. ΕΙΣ ΤΗΝ Σ. 1. ἦλθε δ ' ἐπὶ πτωχὸς πανδήμιος : οὐκ ἀναστρέφεται ἡ πρόθεσις διὰ τὸ μεσοσυλλαβῆσαι τὸν δέ. Io. Al. 27, 19. 5. Ἀρναῖος δ ' ὄνο μ ' ἔσκε : γέγονε τὸ ὄνομα παρὰ τὴν ἀρὰν ἀραῖος καὶ πλεονασμὸς τοῦ ν ἀρναῖος ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος Q. προπερισπᾶται δέ· τὰ γὰρ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, προπερισπᾶσθαι θέλει.

3,2 162 Il. Pr. N 791. 27. γρηῒ καμινοῖ : τῇ καμινοκαυστρίᾳ, τῇ φρυττούσῃ τὰς κριθὰς πρὸς τὸ ποιῆσαι ἄλευρα. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. ὁ δὲ Κομανὸς τῇ καμούσῃ τὰς ἶνας διὰ τὸ γῆρας. BHQ. Vind. 133. 70. μέλ ε ' ἤλδανε : ψιλῶς ἀπὸ τοῦ ἀλδαίνω. καὶ Αἰολεῖς ἄλματα καλοῦσι τοὺς κλάδους οἷον ἀλδήματα καὶ αὐξήματα. BQ. 128. ἐπητῇ : περισπωμένως. B. 184. οὐ κεῖ ς ' εἶμι : τὸ πλῆρες οὐ κεῖσε εἶμι· τινὲς δὲ οὐκ εἴσειμι. ἄμεινον δὲ τὸ πρῶτον. H. 238. λελῦτο δὲ γυῖα ἑκάστου : προπερισπωμένως τὸ λελῦτο. H. 257. λιπὼν κάτα πατρίδα γαῖαν : ἀναστρεπτέον τὴν κατά. Q. 282. τῶν μὲν δῶρα παρέλκετο : εἰ μὲν ὑπὸ ἓν παρέλκετο, παρολκὴν ἐλάμβανεν· εἰ δὲ διῃρημένως, παρὰ τούτων ἐλάμβανε καὶ ἀνεπλήρου τὰ ἀναλώματα. HQV. 289. πρίν γέ σέ τῳ γήμασθαι Ἀχαιῶν , ὅστις ἄριστος : ἐγκλιτικὸν τὸ τῷ. H. 373. ἥλικες ἰσοφόροι : παροξυτονητέον τὸ ἰσοφόροι· κατὰ γὰρ ἐνέργειαν ἡ σύνθεσις. H. 404. ἦδος : ψιλωτέον τὸ ἦδος. H. ΕΙΣ ΤΗΝ Τ. 44. ἀλλὰ σὺ μὲν κατάλεξαι : τὸ προστακτικὸν φυλάξει τὸν ἴδιον τόνον. Il. Pr. A 302. 61. ᾕρεον : δασέως τὸ ᾕρεον. H. 62. καὶ δέπα , ἔνθεν : ἐκτατέον τὸ δέπα. H. 121. δμῳῶν : δμῳῶν σὺν τῷ ι καὶ περισπωμένως. θηλυκὸν γάρ ἐστι. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. H. 122. δακρυπλώειν : σύνθετον τὸ δακρυπλώειν. BHQ. 183. ἐμοὶ δ ' ὄνομα κλυτὸς Αἴθων : ἐν τῇ Ὀδυσσείᾳ (h. l.) κατὰ παράθεσιν ἀναγνωστέον «ἐμοὶ δ' ὄνομα κλυτὸς Αἴθων». ἰδίᾳ συστῆσαι γὰρ αὐτοῦ βούλεται τὸ ὄνομα, ἐπεί τοι ἔσται κρεμάμενος λόγος. Il. Pr. X 51. 320. λοέσσαί τε χρῖσαί τε : ἐν τῇ τ τῆς Ὀδυσσείας (h. l.) παραλόγως ἐνεκλίναμεν ἐν τῷ «ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε», ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν. Il. Pr. H 199. * 343.

3,2 163 ἐπιήρανα θυμῷ : κρεῖττον οὕτω γράφεσθαι ἤπερ ἐπίηρ' ἀνὰ θυμῷ. ἡ γὰρ ἀνά πρόθεσις οὐκ εἴωθεν ἁπλῶς ἐπὶ τοιούτων σημαινομένων δοτικῇ συντάττεσθαι. Eustath. ad h. l. 1867, 29. 478. ἡ δ' οὔ τ ' ἀθρῆσαι δύναται : πρόδηλον ἐκ τῆς συναλοιφῆς, ὅτι ψιλοῦται. Il. Pr. M 391. ΕΙΣ ΤΗΝ Υ. 106. εἴατο : ψιλῶς, ἵν' ᾖ ἦσαν (V) Ἀρίσταρχος. ἔχει δὲ ἐπίστασιν, εἰ τοῦ εἰμί τὰ παθητικὰ δύναται συστῆναι κατὰ σημαινόμενον ἢ χρῆσιν Ἑλληνικήν. διὸ ἄμεινον δασύνειν καὶ ἐκδέχεσθαι ἐκάθηντο. Il. Pr. O 10. 131. μήτηρ πινυτή : πινυτή τὸ ἐπίθετον ὀξύνεται, μένει δὲ καὶ τὸ κύριον ὁμοτόνως. Il. Pr. I 150. 166. ξεῖ ν ' ἦ ἄρ τι : δύο μέρη λόγου τὸ ἄρ καὶ τὸ τί. B. 204. ἴδιον ὡς ἐνόησα : ψιλωτέον τὸ ἴδιον. B. 227. βουκόλε ἐπεὶ οὔτε κακῷ : ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν βουκόλε δεῖ, ἵνα καὶ ἡ στιγμὴ καὶ ὁ τόνος ἀναλόγως καὶ Ἑλληνικῶς ἔχῃ. τὸ δὲ μέτρον οὐκ ἂν δόξαι βλάπτεσθαι τοῦ στοιχείου προστιθέντος, ἐπεί, ὅταν δέῃ ὑγιὲς αὐτὸ παριστάναι, πάλιν ἀφαιρεθήσεται. Il. Pr. Λ 441. 311. τέτλαμεν : προπαροξυτόνως εἴτε κίνημά ἐστιν ἀπὸ τοῦ τέτλημι εἴτε ἀπὸ τοῦ τετλήκαμεν συγκέκοπται. B. ΕΙΣ ΤΗΝ Φ. 20. ἐξέσίην : δημοσίαν ἔκπεμψιν, παρὰ τὸν ἥσω ἑσία καὶ ἐξεσία. BHQ. 45. ἐς δὲ σταθμοὺς ἄρσε : ψιλωτέον. τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς ρ ἐπιφερομένου τοῦ ς ψιλοῦσθαι φιλεῖ. Il. Pr. Z 348. 61. ὄγκιον : παροξυτόνως τὸ ὀγκίον. B. 331. εὐκλεῖας : προπερισπαστέον. ἐκ γὰρ τοῦ εὔκλέας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγένετο κατ’ ἐπένθεσιν τοῦ ι . Il. Pr. K 281. ΕΙΣ ΤΗΝ Χ. * 136. οὔ πως ἐσ τ ’ Ἀγέλαε διοτρεφές : οὐχ ὃν τρόπον οἴεται ὁ Ἀσκαλωνίτης τὸ πῶς πάντως ὀξυτονηθήσεται, ἐπεὶ ἤδη ἐμελέτησε καὶ ἄλλων ἐγκλιτικῶν ἐπιφερομένων τὸ πῶ καὶ τὸ πῶς τοῦτο μὴ πάσχειν.

3,2 164 «οὔ πως ἐστ’ Ἀγέλαε διοτρεφές» «μήπως με προϊδών» (Od. δ 396). Il. Pr. Υ 464. 188. κουρίξ : ὀξύνεται· τὰ γὰρ εἰς ιξ ἐπιρρήματα ὀξύνεται, σημαινομένου τοῦ πέριξ βαρυνομένου. Il. Pr. Ξ 60. 213. 214. Μέντορ μή ς ’ ἐπέεσσι παραπεπίθῃσιν Ὀδυσσεύς—μνηστήρεσσι μάχεσθαι , ἀμυνέμεναι δὲ οἷ αὐτῷ : ἐπὶ τούτου κατ’ ὀρθὸν τόνον ἀνέγνωμεν· καὶ τὸ ἑξῆς ἐστι τοιοῦτον μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ δὲ ἀμύνειν. καὶ καθόλου ἡ οἷ ὁπότε προηγεῖται τῆς αὐτός ἀντωνυμίας κατὰ δοτικὴν πτῶσιν, ὀρθοτονεῖσθαι θέλει εἴτε εἰς ἁπλῆν εἴη ἡ μετάληψις εἴτε καὶ εἰς σύνθετον. Il. Pr. O 226. ΕΙΣ ΤΗΝ Ψ. 3. ὑπερικταίνοντο : Ἀρίσταρχος μὲν ἄγαν ἐπάλλοντο καὶ ἐκινοῦντο προθυμουμένης αὐτῆς βαδίζειν ταχέως, μὴ δυναμένης δέ, ἀλλὰ κατὰ βραχὺ διὰ τὸ γῆρας. οἱ δὲ ὑπερεξετείνοντο. ἄμεινον δῆθεν ἐκινοῦντο παρὰ τὸ ἴκταρ, ὅ ἐστιν ἐγγύς. καὶ γὰρ προείρηκε «γούνατα δ’ ἐρρώσαντο». ταχέως οὖν ὑπερικνοῦντο, ὅ ἐστι παρεγίνοντο. MS Barnes. 62. ὡς οὐκ ἔσ θ ’ ὅδε μῦθος : τὸ ἔστι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται «ἔστι δέ τις προπάροιθε πόλιος» (Β 811) καὶ ὅταν ὑποτάσσηται τῇ οὐ ἀποφάσει (h. l. c.)· εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν οἷον «ὃ δὴ τετελεσμένον ἐστίν». Il. Pr. Ζ 152. 191. ἀκμηνὸς θαλέθων : ὁ ἀκμὴν ἔχων τοῦ θάλλειν. HQV. ἐπὶ μὲν τούτου ὠξυτόνησεν Ἀρίσταρχος, ἐπὶ δὲ τοῦ ἐν Ἰλιάδι (Τ 163; 346) ἐβαρυτόνησεν· οἱ δὲ τὰ δύο προπαρωξυτόνησαν. V. 220. εἰ ᾔδη : Ἡρωδιανὸς τὸν εἰ ἀντὶ τοῦ ἐπεί φησιν εἶναι καὶ συνάπτει ὅλον τὸν νοῦν οὕτως· εἰ μὴ ἠπατήθη ἡ Ἑλένη ὑπὸ τῆς Ἀφροδίτης, οὐκ ἂν ἄλλῳ ἠκολούθησεν ἀνδρί. καὶ πόθεν δῆλον ὅτι δι’ ἀπάτην ἠκολούθησε καὶ οὐχ ἑκουσίως; ἐπειδὴ ᾔδη μάλιστα ὅτι οὐκ ἔχει καταφρονηθῆναι τοῖς Ἕλλησιν ἡ αὐτῆς ἁρπαγή. Q. Vind. 56. 281. θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ : γρ. ἔξαλος ἤγουν ἔξω τῆς θαλάσσης. Vind. 133. ΕΙΣ ΤΗΝ Ω. 10. ἀκάκητα : προπαροξυτόνως. H. 221. ἅσσον ἴεν πολυκάρπου ἀλωῆς : ἴεν ψιλωτέον, ἔστι γὰρ ἑνικὸν ἀντὶ τοῦ ἐπορεύετο. Il. Pr. M 33. * 229.

3,2 165 γραπτῦς : ἐν τῇ Ὀδυσσειακῇ προσῳδίᾳ φανερῶς τὸ γραπτῦς περισπᾷ καί φησιν, ὅτι εἴη εἰρηκὼς ὡς καὶ τὸ κλιτῦς (Π 390) δεῖ περισπᾶσθαι. Schol. ad Il. Π 390. 242. κα τ ’ ἔχων κεφαλήν : κάτω ἔχων νενευκώς· δύναται δὲ καὶ ὑφ’ ἓν κατέχων. V. 331. οὐλὴν μὲν πρῶτον : οὐλή ὡς αὐλή. τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ διφθόγγῳ παραληγόμενα ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως οὐλή αὐλή, ἀπειλή, ὠτειλή. τὸ μέντοι «ἑτέρῃ δ’ ἔχεν οὔλας» (γ 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. Il. Pr. Τ 26. 417. ἐκ δὲ νέκυς οἴκων φόρεον : οὐκ ἀήθης ἡ τοιαύτη συναλοιφή. τὸ «ἄρχετε νῦν νέκυας φορέειν» (Od. χ 437) ἐν τοῖς ἐφεξῆς ἔφη «ἐκ δὲ νέκυς οἴκων φόρεον» (h. l.). Il. Pr. M 286.

Eulogikon public reading copy · View original HTML at eulogikon.org